quò ad eius fieri poterat, haberet. Ad tuam autem reuerentiam, cuius singulare quoddam veræ cœlestisq; doctrinæ propagandæ & tuendæ indefessumq; est studium, hunc laboris mei fœtum strenæ seu Xenioli loco, de quo præsentes Ianuariæ me monent calendæ, transmitto: beneuolæ, grataeq; menti, qua nullum officium esse maius Cicero fatetur, testificationem vt præbeat, & vt defensionem aduersus artium linguarumq; honestarum inimicos, qui cum vulgi animos fascinatos tenent, tum in Gynæceis & aulis pasim dominantur, inueniat. Hæc te profectò via immortalem in terris faciet, cum Musarum Mecœnas, & ad defendendas, fouendasq; literas dicêris esse natus. Quod superest, filium Dei κεφαλὴν, σωτῆρα, καὶ φύλακα *Ecclesiæ suæ senescentis, & credentium omnium sufficientißimum, toto pectore oro, vt reuerentiam tuam diu saluam & incolumem conseruet, & quod ad suæ gloriæ propagationem, Scholarumq;, Ecclesiæ, atq; Reipublicæ, per te incœpit, feliciter confirmet atq; perficiat. Benè & feliciter vale cum castißima coniuge ex antiquo & nobilißimo stemmate Lungorum oriunda, D. Christiana Lunge, & tota domo. Perscriptæ Vitebergæ Calend: Ianuar: Anno Christi* CIↃ IↃ LXXIIII.

EPIGRAMMA M. MARtini Henrici Decani & Professoris in tractatum de Virtutibus conscriptum à M. Iacobo Iohanne Holmio.

Non hæc ex atomis conflata eſt machina mundi
Sponte, nec incertis caſibus orta fuit.
Nec temere humanis communes mentibus hærent
Noticiæ, aut temere ſemina lucis habent.
Præcipuè quæ recta docent diſcernere prauis
Autorem oſtendunt qui probat iſta DEVM.
Eſſe DEVM *talem cõmonſtrant, qualiter iſtis*
Noticijs picta eſt mentis imago ſuæ.
At magis illuſtres fuerant, ni cauſa ruinæ
Ipſe tuo lapſu triſtis Adame fores.
Certior ac uitæ quanquã eſt lex norma regendæ,
Quam DEVS *in ſacris tradidit ipſe libris:*
Attamen hoc quantum reliquum eſt, & regula
Et morum effigies utilis eſſe poteſt. (uitæ,
Adde quod ex iſtis ueterum ſapientia fluxit,
Inde ſuos ortus dogmata Iuris habent.
Holmius en docti relegens monumenta Platonis,
Quæq; tuus liquit ſcripta Stagira ſenex.
Hæc præſcripta librũ breuiter digeßit in unum,
Perſpicua & noſci dexteritate dedit.
Perlegere hunc animis promptis ſtudioſa iuuen-
Te decet, ac tali grata labore frui. (tus

ΟΤΙ ΕΞΙΣ ΠΡΟΑΙΡΕΤΙΚῊ Ἡ ἈΡΕΤῊ ἘΝ ΜΕΣΌΤΗΤΙ ΟὖΣΑ, Τῇ ΠΡῸΣ ἩΜᾶΣ, ὩΡΙΣΜΈΝῌ ΛΌΓῼ, ὩΣ ἊΝ Ὁ ΦΡΌΝΙΜΟΣ ὉΡΊΣΕΙΕ, ΜΈΘΟΔΟΣ ὉΡΙΣΤΙΚΉ.

Καθάπερ ὁδοιπόροι, τοξόται, ἢ σταδιοδρόμοι σκόπον ἔχοντες, καὶ πεπερατισμένον πέρας, μᾶλλον τοῦ δέοντος τυγχάνονται: οὕτω καὶ τοὺς ἀνθρώπους τέρμα ἔχειν, καὶ τέλος τῶν πρακτῶν τε καὶ βίου, ὃ δι' αὐτὸ βούλωνται ἄν, καὶ ποιῶνται, τά τε ἄλλα διὰ τοῦτο, καὶ μὴ πάντα δι' ἕτερον αὐτοὺς αἱρεῖσθαι (οὕτως γὰρ εἰς ἄπειρον εἶναι, κενὴν καὶ ματαίαν τὴν ὄρεξιν) πάντες φιλόσοφοι ὁμοθυμαδὸν διισχυρίζονται: περὶ τοῦ δέ τι εἶναι τέλος τοῦτο καὶ σκόπον, τινός τε τῶν ἐπιστημῶν ἢ δυνάμεων ἀμφισβητοῦσι.

Aristoteles lib. 1. Eth. ad Nicom: cap. 2.

Πλάτων μὲν ἅπαντα ἡμῖν τῶν ἀγαθῶν ἕνεκα πρακτέον εἶναι, καὶ ἁπασῶν τῶν πράξεων τἀγαθὸν τέλος λέγει, ἄγνωστον δὲ τοῦτο ἡμῖν ἀκριβῶς εἶναι, καὶ ἀλλαχοῦ τὴν εἰδέαν τούτου μάθημα μέγιστον, καὶ τὸ τὴν ἀλήθειαν παρέχον τοῖς γιγνωσκομένοις, καὶ συλλήβδην ἀληθῆ ἀρετὴν τὴν εὐσέβειαν, καὶ τὴν τοῦ θεοῦ

Plato in Gorgia. In Parme. Polit. lib. 3. & 7. Polit. lib. 6. & in Phæ.

γνῶσιν, καὶ τὴν φρόνησιν εἶναι τὴν πρώτην συμπάσης ἡγεμόνα ἀρετῆς, μετ' ἔρωτος καὶ ἐπιθυμίας ταύτῃ ἑπομένης, διαλέγεται.

Plutarchus in lib: de morali uirtute.

Θαλῆς δὲ καὶ Ἀναξαγόρας τὴν σοφίαν τέλος τῶν ἀνθρώπων, ἢ ἐπιστήμην, τῶν πραγμάτων τῶν ἁπλῶς ἐχόντων, οἷον γῆ, οὐρανὸς, θάλασσα, ἣ τῆς τύχης οὐ δεῖται πρὸς τὸ οἰκεῖον τέλος, οὐδὲ βουλῆς, ἐστι γὰρ περὶ τὰ ἀεὶ, καὶ τὰ αὐτὰ ὡσαύτως ἔχοντα, καὶ περὶ τὰ πρῶτα, καὶ μόνιμα, καὶ μίαν ἀεὶ φύσιν ἔχοντα, μὴ δεχομένην μεταβολὰς, ἐνεργῶν: διὸ καὶ ἀπήλλακται τοῦ βουλεύεσθαι, τὸ τῆς φρονήσεως ἐστι.

Arijtot. in Proœmio Metaphy:

Πυθαγόρας οὐδὲν θαυμάζειν τοῦτ' ἐστιν μάθημα ἔχειν μέγιστον τέλος εἶναι λέγει: διὰ γὰρ τὸ θαυμάζειν οἱ ἄνθρωποι καὶ νῦν καὶ τὸ πρῶτον ἤρξαντο φιλοσοφεῖν, ἐξ ἀρχῆς μὲν τὰ πρόχειρα τῶν ἀπόρων θαυμάσαντες, εἶτα κατὰ μικρὸν οὕτω προϊόντες, καὶ περὶ τῶν μειζόνων διαπορήσαντες, οἷον περὶ τῶν τῆς σελήνης παθημάτων, καὶ τῶν περὶ τὸν ἥλιον, καὶ ἄστρα, καὶ περὶ τῆς τοῦ παντὸς γενέσεως, ὁ δὲ ἀπορῶν καὶ θαυμάζων, οἴεται ἀγνοεῖν.

Aristot.lib. 1. Nicom: cap.5.

Ἐπίκουρος ἡδονὴν ἀνθρώπου τέλος καὶ τὸ ἐν ταῖς ἐξουσίαις ὁμοιοπαθεῖν τῷ Σαρδανα-

πάλῳ,

πάλω διαιρεῖται. καὶ περὶ ἀγαθοῦ μεγίστου ἢ
τοῦ τῶν πρακτῶν τε καὶ βίου ἀνθρώπων τέ-
λους διακοσίας ὀγδοήκοντα ὀκτὼ διαφε-
ρομένας τῶν φιλοσόφων δόξας Βάῤῥων ὁ
ῥωμαῖος ἀναριθμηκέναι λέγεται. Σοφώ-
τατοι δὲ περὶ τούτου τοῦ Ἀριστοτέλους εἰσὶ λό- Arist.Ethi:
γοι, οἱ καὶ μόνιμοι, καὶ ἀμετάπτωτοι, ὃς πρᾶ- Nicom:lib.
ξιν τέλος εἶναι καὶ ἐνέργειαν ἀνθρώπου λέγει, 1.cap. 7.
καὶ τὴν αὐτοῦ πρᾶξιν ἰδίαν, ἐν τῷ τῶν μο-
ρίων ἀξιωτάτῳ οὖσαν, καὶ ταύτην τέλειόν τι,
αὐταρκές τε, μόνον δι' αὐτὸ αἱρετὸν ποιοῦν,
τὸν βίον, τὸ κατ' αὐτὸ ἐκ τῆς φύσεως διωκ-
τὸν, καὶ μηδέποτε δι' ἄλλου αἱρετὸν, οἰκεῖόν τι
καὶ δυσαφαίρετον. Τοῦτο εὐδαιμονίαν εἶναι Ethi: ad
διορίζεται, τῆς ψυχῆς ἐνέργειαν δηλαδὴ, καὶ Nicom:lib.
πράξεις μετὰ λόγου, καὶ κατ' ἀρετὴν, μὴ μίαν 1.cap. 4. 7.
μόνην, μία γὰρ χελιδὼν ἔαρ οὐ ποιεῖ, οὐδὲ 13.
μία ἡμέρα, ἀλλὰ ἢ πάσας ἢ πλείστας, καὶ
κατὰ τὴν ἀρίστην καὶ τελειοτάτην, ἔτι δὲ ἐν
βίῳ τελείῳ: καὶ διαφέρειν ἴσως οὐ μικρὸν ἐν Eth:ad Ni=
κτήσει ἢ χρήσει τὸ ἄριστον τοῦτο ὑπολαμ- com: lib. 1.
βάνειν, καὶ ἐν ἕξει ἢ ἐνεργείᾳ. Πράξει τις cap.8.
λέγει ἐξ ἀνάγκης, καὶ εὖ πράξει, ὥσπερ γὰρ
ἐν ὀλυμπιάσιν οὐχ οἱ κάλλιστοι καὶ οἱ ἰσχυρώ-
τατοι στεφανοῦνται, ἀλλ' οἱ ἀγωνιζόμενοι,
τούτων γάρ τινες νικῶσι: οὕτω καὶ τῶν ἐν τῷ

βίῳ καλῶν κἀγαθῶν οἱ πράττοντες ὀρθῶς
ἐπίβολοι γίγνονται. Τὴν μὲν οὖν τῆς
ἀρετῆς πρᾶξιν, τοῦτο γάρ ἐστιν ἡ εὐδαιμονία,
ἀνθρώπινον ἀγαθὸν μέγιστον εἶναι διαγο-
ρεύεται καὶ τῆς μεγίστης καὶ τελειοτάτης, οὐδέν τι
Eth: ad Ni- προσδεῖσθαι τῆς ἡδονῆς τὸν βίον τοιοῦτον ὥσ-
com: lib. 10. περ περιάπτου τινὲς, ἀλλ' ἔχειν αὐτὸν τὴν
cap. 2. & ἡδονὴν ἐν ἑαυτῷ τὴν ψυχικὴν, τῆς ψυχῆς
lib. 1. cap. 8. αὐτῆς καθ' ἑαυτὴν ἄνευ τῆς τοῦ σώμα-
Nemesius: τος κοινωνίας. κυρίως γάρ εἰσιν ἡδοναὶ αἱ
de homine τῇ κατανοήσει τοῦ θείου, καὶ ταῖς ἐπιστήμαις,
cap. 18. καὶ ταῖς ἀρεταῖς ἐπιγινόμεναί πως, ἢ συμ-
πεπλεγμέναι, ἅσπερ ἐν τοῖς περισπουδάστοις
θετέον, οὐκ εἰς τὸ εἶναι ἁπλῶς, οὐδὲ εἰς τὴν
διαμονὴν τοῦ γένους, ἀλλ' εἰς τὸ εὖ εἶναι καὶ
σπουδαίοις, καὶ θεοφιλέσιν εἶναι συντελούσας,
καὶ εἰς αὐτὴν τοῦ ἀνθρώπου τὴν κατὰ ψυ-
χὴν καὶ τὸ νοερὸν τελειότητα. αὗται οὔτε θε-
ραπεῖαι τῶν παθῶν εἰσιν ὡς αἱ τῆς ἐνδείας
ἀναπληρωτικαὶ μετὰ τοῦ σώματος κοινω-
νίας ἡδοναὶ, οὔθ' ὅλως λύπην ἔχουσι προη-
γουμένην ἢ ἑπομένην ἢ ἀντικειμένην, ἀλλά
εἰσι καθαραὶ καὶ ἄμικτοι πάσης ὑλικῆς
συμπλοκῆς, ψυχικαὶ μόνον οὖσαι, οὐ ψευ-
δεῖς ἀλλ' ἀληθεῖς, οὐ πάθη ἀλλὰ πεῖσις.
καὶ κατὰ Πλάτωνα οὐχ ἡδοναὶ κυρίως,
ἀλλὰ

ἀλλὰ χαραὶ λεγόμεναι. Οὐκ ἄρα ἀγαθὸν τέλειον αἱ ἡδοναὶ, πᾶσαι, ἢ χαραὶ, ἀλλὰ τοῦ ἀγαθοῦ συμβεβηκότα τινὰ καὶ προσκείμενα αὐτοῦ ἀδυσαίρετα, καὶ σημεῖον τῶν ἕξεων ἡ ἐπιγινομένη ἡδονὴ ἢ λύπη. Οὐ γάρ ἐστιν ἀγαθὸς ὁ μὴ χαίρων ταῖς καλαῖς πράξεσιν, οὐδὲ δίκαιον ἂν οὐδεὶς εἴποι τὸν τῷ δικαιοπραγεῖν μὴ χαίροντα, καὶ ὁμοίως ἐπὶ τῶν ἄλλων. Πλοῦτος ἤ, φίλοι, δύναμις πολιτικὴ, εὐγένεια, εὐτεκνία καὶ τὰ ἄλλα ταύταις ὅμοια τὴν εὐδαιμονίαν οὐ ποιοῦσιν, ἀλλ' ὄργανα ὥς τινα εἰσὶ ὧν ἄνευ τὰ καλὰ ἀεὶ πράττειν, καὶ τὰς τῶν ἀρετῶν πράξεις ἐπιτηδεύειν πλέιους οὐ ῥάδιον, περὶ οὗ καλῶς ὁ Πλάτων, ἀρετῆς ἄνευ πάντα τὰ κτήματα ἀνθρώποις αἰσχρά ἐστι. Τοῦ εὐδαιμονεῖν τοίνυν (τοῦτ' ἔστι τὸ εὖ ζῆν καὶ τὸ εὖ πράττειν, καὶ κατ' ἀρετὴν μεγίστην, ἥ ἐστιν ἡ τοῦ θεοῦ γνώσει ἑπομένη λατρεία καὶ εὐσέβεια) τέλος τῶν πρακτῶν τε καὶ βίου ἀνθρώπων ὄντος πάντων ἀγαθῶν αἰτίου καὶ αὐτοῦ: περὶ ἀρετῆς τί εἶναι αὐτὴν, ἐκ τινων γίνεσθαι, καὶ πῶς τινα αὐτῆς τυγχάνειν ὀρθῶς ἐπιζητεῖται, καὶ ἀκριβασμῷ τινι σκοπεῖται: διατείνεται γὰρ ταῦτα διὰ παντὸς τοῦ βίου, ῥοπὴν ἔχοντα καὶ πρὸς ἀρετὴν, καὶ

Eth. ad Nicom: lib: 2. cap. 3.

Eth: ad Nicom: lib. 1. cap. 8.

Plato in Epino.

Eth: ad Nicom: lib. 3. cap. 4.

Plato in Theæteto & Epino:

πρὸς

πρὸς ἀρετὴν καὶ πρὸς εὐδαίμονα βίον. Καὶ

Aristo.ma=gno:moral. lib.1.cap.1.

ἀναγκαῖον εἰδῆσαι, τί ἐστιν ἀρετή. οὐ γὰρ ῥάδιον εἰδέναι τὸ ἐκ τινῶν ἂν καὶ πῶς γίνηται, τὸν τό τι ἐστὶν αὐτὴ ἀγνοοῦντα, ἀμφισβήτησιν ἔχοντος καὶ τούτου: Πρῶτος μὲν γὰρ ἐνεχείρησε ὁ Πυθαγόρας περὶ ἀρετῆς εἰπεῖν, οὐκ ὀρθῶς δέ. τὰς γὰρ ἀρετὰς εἰς τοὺς ἀριθμοὺς ἀνάγων, οὐκ οἰκεῖον τῶν ἀρετῶν τὴν θεωρίαν ἐποιήσατο; οὐ γάρ ἐστι δικαιοσύνη

Philippus in enarrat. lib.5. Ethi. Aristotelis.

ἀριθμὸς ἰσάκις ἴσος, οὐδὲ τὸ δίκαιον ἀεὶ ἀντιπεπονθὸς, ἀνάλογον δὲ ἀεί. μετὰ τοῦτον δὲ Σωκράτης ἐπιγινόμενος βέλτιον καὶ ἐπὶ πλεῖον εἶπεν ὑπὲρ τούτων, οὐκ ὀρθῶς δὲ οὐδὲ οὗτος. τὰς γὰρ ἀρετὰς ἐπιστήμας ἐποίει, τοῦτο δέ ἐστιν εἶναι ἀδύνατον: αἱ γὰρ ἐπιστῆμαι πᾶσαι μετὰ λόγου, λόγος δὲ ἐν τῷ διανοητικῷ τῆς ψυχῆς μορίῳ, γίνονται οὖν αἱ ἀρεταὶ πᾶσαι καθ' αὐτῶν ἐν λογιστικῷ τῆς ψυχῆς μορίῳ. συμβαίνει καὶ αὐτῷ ἐπιστήμας ποιοῦντι τὰς ἀρετὰς ἀναιρεῖν οἰκεῖον τῶν ἀρετῶν, τὴν πρᾶξιν, καὶ ἔτι τὸ ἄλογον τῆς ψυχῆς μέρος, καὶ τὸ πάθος, καὶ ἦθος. Μετὰ ταῦτα δὲ Πλάτων διείλετο τὴν ψυχὴν εἰς τὸ λόγον ἔχον, καὶ εἰς τὸ ἄλογον ὀρθῶς, καὶ ἀπέδωκεν ἑκάστου ἀρετὰς προσηκούσας: τὴν δὲ ἀρετὴν κατέμιξεν εἰς

τὴν

τὴν πραγματείαν τὴν ὑπὲρ ἀγαθοῦ, οὐ δὴ ὀρθῶς, οὐ γὰρ οἰκεῖον. ὑπὲρ γὰρ τῶν ὄντων καὶ ἀληθείας λέγοντα, οὐκ ἔδει ὑπὲρ ἀρετῆς φράζειν. Πάντων δὲ σοφώτατον Ἀριστοτέλης τὴν ἀρετὴν ὁρίζεται, ἕξιν εἶναι προαιρετικὴν ἐν μεσότητι τῇ πρὸς ἡμᾶς, ὡρισμένην λόγῳ, ὡς ἂν ὁ φρόνιμος ὁρίσειε. καὶ ῥᾷ περὶ τούτου τοῦ ὅρου ἐφεξῆς, αὐτὸν ἀναλυόμενος καὶ ἑρμηνευόμενος ἐν βραχεῖ λέξομαι, παχυλῶς τε καὶ τύπῳ (τὸ γὰρ ἀκριβὲς οὐχ ὁμοίως ἐν πᾶσι τοῖς λόγοις ἐπιζητεῖται, ἀλλὰ ἐφ' ὅσον ἡ τοῦ πράγματος ἐπιδέχεται παρόντος φύσις) ἕκαστα αὐτοῦ μέρη σὺν θεῷ καὶ τύχῃ ἀγαθῇ (οὐδὲν ῥᾷ ἂν διδάξειέν τις, εἰ μὴ θεὸς ὑφηγεῖτο) ἀποδείξομαι. Δεῖ ὄντως εἰπεῖν βουλομένους τὸ τί ἐστιν ἡ ἀρετή, καὶ τὸ τοῦ τῆς αὐτῆς ὅρου οἰκεῖον ληφθῆναι γένος, εἰδῆσαι μῶν αὐτεξούσιόν τι καὶ ἐφ' ἡμῖν ἡ ἀρετή; καὶ εἰ ἐφ' ἡμῖν μὴ οὖν ἐν τῷ σώματι, ἢ ἐν τῇ ψυχῇ; καὶ εἰ ἐν τῇ ψυχῇ ἐστι ὡς συμβεβηκὸς αὐτῆς, μὴ δύναμίν τινα φυσικήν, ἢ πάθος, ἢ μᾶλλον ἕξιν αὐτὴν προσῆκόν ἐστι λεχθῆναι. Πρῶτον μὲν οὖν ἐστι σκεπτέον πότερον δυνατὴ παραγίνεσθαι ἐφ' ἡμῖν ἡ ἀρετή, ἢ οὐκ ἐφ' ἡμῖν, ὥσπερ Σωκράτης ἔφη, τὸ γίνεσθαι

Eth. ad Nicom. lib. 2. cap. 6.

Eth. ad Nicom. lib. 1. cap. 3.

Mag. Moral. lib. 1. ca. 9. & 12.

σπουδαίους

σπουδαίους εἶναι ἢ φαύλους ἐφ᾽ ἡμῖν οὐκ εἶναι, ἢ ὡς ὁ Πλάτων, τοπάζω θεῖόν τι μάλιστα εἶναι τὸ κτῆμα τῆς ἀρετῆς, καὶ γίνεσθαι τοὺς ἀγαθοὺς ὥσπερ οἱ θεῖοι τῶν μάντεων, καὶ χρησμολόγοι, ὅτι γὰρ οὔτε φύσει τοιοῦτοι γίγνονται, οὔτε τέχνῃ, ἀλλ᾽ ἐπινοίᾳ ἐκ τῶν θεῶν γιγνόμενοι, τοιοῦτοί εἰσιν. Καί ῥα τοιοῦτος τούτων λόγος εἰ μὴ ἐν ἀρετῇ τῇ ἡρωϊκῇ, ἀληθὴς οὐκ ἔστιν. τῶν γινομένων γὰρ πάντων ἢ θεὸν φασὶν αἴτιον εἶναι, ἢ ἀνάγκην, ἢ εἱμαρμένην, ἢ φύσιν, ἢ τύχην, ἢ τὸ αὐτόματον: τινὶ τοίνυν τούτων ὑπαγάγωμεν τὰ διὰ τῶν ἀνθρώπων καλὰ καὶ αἰσχρὰ εἴπερ ὁ ἄνθρωπος οὐκ ἔστιν αἴτιος καὶ ἀρχὴ τῆς ἀρετῆς, καὶ τῶν ἑαυτοῦ πράξεων; ἀλλ᾽ οὔτε θεῷ θεμιτὸν ἐπιγράφειν αἰσχρὰς ἔσθ᾽ ὅτε πράξεις, καὶ ἀδίκους, οὔτε ἁπλῶς τὰς ἀρετάς: αὐτοῦ γὰρ ἔργον ἡ οὐσία καὶ ἡ πρόνοια, ἣν ὁρίζονται βούλησιν εἶναι θεοῦ δι᾽ ἣν πάντα τὰ ὄντα τὴν πρόσφορον διεξαγωγὴν λαμβάνει, ἢ τὴν θεοῦ εἰς τὰ ὄντα γιγνομένην ἐπιμέλειαν. Αὐτὴ τὴν οὐσίαν οὐκ ἀφαιρεῖται, ἀλλὰ σώζει αὐτήν, διὸ καὶ τὸ ἐφ᾽ ἡμῖν οὐκ ἀναιρεῖται, καί ῥα αὐτὴ τῶν μὴ ἐφ᾽ ἡμῖν ἐστιν ὡς τοῦ πλουτεῖν καὶ μή, καὶ ὑγιαίνειν καὶ μὴ ὑγιαίνειν. Οὔτε ἀνάγκη

Plato in lib. de uirtute, an sit docibilis.

Eth. ad Nicom: lib. 3. cap. 3. Nemesius de natura homin. ca. 39.

Nemesius de homine cap. 43.

Nem. cap. 44.

θεμιτὸν

θεμιτὸν ἐπιγράφειν τὴν ἀρετήν, οὐ γὰρ ἀεὶ ὡσαύτως ἐχουσῶν ἐστι κινήσεων: οὔτε εἱμαρμένη, οὐ γὰρ τῶν ἐνδεχομένων, ἀλλὰ τῶν ἀναγκαίων τὰ τῆς εἱμαρμένης ἐστιν: οὔτε φύσει, φύσεως γὰρ ἔργα φυτὰ καὶ ζῶα: οὔτε τύχῃ, οὐ γὰρ σπάνιαι καὶ ἀπροσδόκητοι τῶν ἀνθρώπων αἱ πράξεις: οὔτε τῷ αὐτομάτῳ, ἀψύχων γὰρ ἐστιν ἢ ἀλόγων τὰ συμπτώματα. Λείπεται οὖν αὐτὸν τὸν πράττοντα ἄνθρωπον ἀρχὴν εἶναι τῶν ἰδίων ἔργων, καὶ αὐτεξούσιον εἶναι, (γενικῶς λέγειν, πάντων Nemesius
τῶν δι' αὐτοῦ ἑκουσίως πραττομένων καὶ ἁπλῶς cap. 40.
οἷς ἕπεται λόγος ἢ ἔπαινος καὶ ἐφ' οἷς ἐστι προτροπὴ καὶ νόμος) καὶ τὴν τῆς ἀρετῆς ἢ κακίας πράξεων τὴν ψυχὴν αἴτιον εἶναι, ἢ τοσοῦτο λέγειν ἐστι, νοῦν, καὶ βούλησιν, ἢ ἐξ αὐτῶν προαίρεσιν. Περιττῶς γὰρ οὐκ ἔχει ἄνθρωπος τὸ κάλλιστον καὶ τιμιώτατον ἐν ἑαυτῷ τὸ βουλεύεσθαι καὶ προαιρεῖσθαι, μηδεμιᾶς ὢν πράξεως κύριος. Εἰ τοίνυν βουλεύεται, πράξεως ἕνεκα βουλεύεται, καὶ εἰ ἐνέργειαι ἐφ' ἡμῖν, καὶ κατὰ τὰς ἀρετὰς πράξεις, καὶ αἱ ἀρεταί. Εἰ δὲ μὴ ἐφ' ἡμῖν, Magno:
περιτταὶ αἱ προτροπαί, καὶ αἱ παραινέσεις, moral: lib.
περιττοὶ καὶ οἱ νόμοι. Οὐδεὶς γὰρ ἀνθρώπων 1. cap. 9.
προτρέπει μὴ πίνειν καὶ μὴ διψῆν, μὴ δὲ Nem. ca. 39.
ἵπτασθαι.

ὕπλασθαι: οὐ γὰρ ἐφ' ἡμῖν ταῦτα. δῆλον οὖν ὅτι ἐφ' οἷς αἱ προτροπαί, οἷον ἐπ' ἀρεταῖς, καὶ ταῦτα ἐφ' ἡμῖν εἶναι. Καὶ διά τι ὁ νομοθέτης οὐκ ἐᾷ τὰ φαῦλα πράττειν, τὰ δὲ καλὰ καὶ σπουδαῖα κελεύει, καὶ ἐπὶ μὲν τοῖς φαύλοις ζημίαν τάττει, εἰ μὴ ἐφ' ἡμῖν εἴη πράττειν. Οὐ μὲν ἐπὶ πάσης πράξεως, καὶ κτήσεως ἡ αὐτεξουσία ἡμῖν ἐστι: γεγραμμένον γάρ, οὐκ ἐπ' ἀνθρώπῳ αἱ ὁδοὶ αὐτοῦ: καὶ ἀλλαχοῦ, μάταιοι οἱ διαλογισμοὶ τῶν ἀνθρώπων, ὡς μὴ δυναμένων ἡμῶν εἰς ἔργον ἄγειν τὰ ἃ διανοούμεθα: οὐ γὰρ τοῦ πλουτεῖν ἢ ὑγιαίνειν ἀεί, ἢ ῥωμαλέους εἶναι, ἢ τῶν κατὰ πρόνοιαν τοῦ θεοῦ λαμβανόντων τέλος μόνον, ἐξουσίαν ἔχομεν ἀεί, ἀλλὰ τῶν κατ' ἀρετὴν καὶ κακίαν πράξεων, καὶ προαιρέσεων, καὶ κινήσεων τῶν κατὰ τόπον, καὶ ὧν ἐξίσης καὶ τὰ ἀντικείμενα πράξαι δυνάμεθα. Καὶ ὅτι μὲν αὐτεξούσιαι καὶ ἐφ' ἡμῖν αἱ ἀρεταὶ ἠθικαὶ καὶ πολιτικαὶ αὐτάρκως ἀποδέδεικται: ὑπόλοιπόν ἐστιν εἰπεῖν πότερον τοῦ σώματος ἢ τῆς ψυχῆς εἰσιν ἐνέργειαι, εἰς τὸ τῆς ἀρετῆς γένος φανεροῦσθαι. τὸν ἄνθρωπον ἐκ ψυχῆς λογικῆς καὶ σώματος ἄριστα κατασκευάσθαι κατὰ τρόπον ἄφραστόν τε καὶ ἀνεπινόητον, καὶ οὕτω καλῶς

Gregor: Nyssenus de opifi. hominis cap. 15.

ὡς

ὡς πασῶν ἐνεργειῶν καὶ πράξεων ἡ ψυχὴ ἢ νοῦς λογικὸς αἴτιον ᾖ, πολλοῖς καὶ σοφωτάτοις ἀνδράσιν ἔδοξε. (Διὸ καὶ ὁ Πλάτων οὐ λέγει τὸν ἄνθρωπον συναμφότερον εἶναι ψυχὴν καὶ σῶμα, ἀλλὰ ψυχὴν σώματι τοίῳ χρωμένην, πρὸς τὴν τῆς ψυχῆς μόνης θειότητα καὶ ἐπιμέλειαν ἡμᾶς ἀποστρέφων, ἵνα τὴν ψυχὴν ἑαυτοὺς εἶναι πιστεύοντες, τὰ τῆς ψυχῆς ἀγαθὰ μόνα διώκωμεν, τὰς ἀρετὰς καὶ τὴν εὐσέβειαν.) Plato in Alcibiade. α.

Καί ἄρα τῆς ψυχῆς ἔργα, τὰ μὲν αὐτῆς καθ' ἑαυτὴν μόνης εἶναι λέγομεν μὴ προσδεομένης τοῦ σώματος, εἰ μὴ καθ' ὅσον ἐν αὐτῷ ναίουσα, καὶ τοῖς αὐτοῦ μέρεσι ὡς ὀργάνοις χρωμένη τισὶν, ἐνεργείας ἑαυτῆς τὰς ἀνεπινοήτους ἐπιτελεῖ, ὡς τὴν ἐπιστήμην, καὶ πάντως τὴν τῶν ὄντων θεωρίαν, καὶ ἐξ αὐτῶν ἀλήθειαν, ἢ καὶ ὑπόληψιν ἢ δόξαν: τὰ δὲ κατὰ κοινωνίαν, τινὰ τῆς ψυχῆς καὶ σώματος εἶναι, ἐχόντων καὶ τούτων ἐπὶ τὴν ψυχὴν ἀναφορὰν ὡς ἐπὶ αἴτιον ἀληθῆ, τὴν ψυχὴν δηλαδὴ τῷ σώματι προσχρωμένην. Πράξεων οὖν καὶ ἐνεργειῶν, τῆς ψυχῆς ἀληθοῦς αἰτίας οὔσης ἁπασῶν τῶν ἐφ' ἡμῖν, δῆλον ὅτι κᾀυτῆς ἡ ἀρετή ἐστιν ἐνέργεια. Οὐ μὲν μέρος αὐτῆς ἡ δύναμις: οὐ γὰρ

αὐτό ἐστι τὸ φυτικὸν, ἢ τὸ αἰσθητικὸν, ἢ κινητικὸν κατὰ τόπον, ἢ τὸ ὀρεκτικὸν, ἢ καὶ τὸ διανοητικὸν, οὕτως γὰρ ἐν τοῖς φυσικοῖς διαιρεῖ τὴν ψυχὴν Ἀριστοτέλης, οὔτε αὐτὸ τὸ λόγον ἔχον, ἢ τὸ ἄλογον, ὡς ἐν τοῖς ἠθικοῖς, εἰς δύο τὰ πρῶτα καὶ γενικώτατα διαιρεῖ τὴν ψυχήν· ἀλλὰ ἐν τῇ ψυχῇ συμβεβηκός τι γινόμενον. Ἔστι δὲ τὰ ἐν τῇ ψυχῇ γινόμενα ταῦτα πάθη, δυνάμεις καὶ ἕξεις, ὥστε δῆλον τούτων αὔτις ἡ ἀρετὴ εἴη. Πάθη λέγω οὐ τὰ σωματικὰ ὡς τὰ νοσήματα καὶ τὰ ἕλκη, ἀλλὰ τὰ ψυχικὰ, κινήσεις δηλαδὴ τῆς ὀρεκτικῆς δυνάμεως ἐπὶ φαντασίᾳ ἢ ἐπὶ ἐνδιαθέτῳ λόγῳ, ἀγαθοῦ ἢ κακοῦ, αἷς ἕπεται ἡδονὴ ἢ λύπη, οἷον ὀργὴ, φόβος, μῖσος, πόθος, ζῆλος, ἔλεος, καὶ τὰ τοιαῦτα οἷς εἴωθε παρακολουθεῖν λύπη ἢ ἡδονή: ἕπεται γὰρ τῷ πάθει λύπη ἢ ἡδονὴ, καὶ οὐκ αὐτὸ τὸ πάθος ἡδονὴ ἢ λύπη ἐστὶν, εἰ γὰρ τοῦτο ἦν, πᾶν τὸ πάσχον καὶ ἤλγει, νῦν δὲ τὰ ἀναίσθητα πάσχει μὲν οὐκ ἀλγεῖ δὲ, οὐκ ἄρα τὸ πάθος ἐστὶν ἄλγημα, ἀλλὰ τοῦ πάθους αἴσθησις, δεῖ δὲ τοῦτο ἀξιόλογον εἶναι, ἵνα τῇ αἰσθήσει ὑποπέσῃ, μικραὶ γὰρ κινήσεις καὶ ἀνεπαίσθητοι αἱ τὴν αἴσθησιν λανθάνουσαι οὐ πάθη κυρίως, ἀλλ' ἤθη λέγονται. Πάθη μὲν οὖν οὐκ εἰσὶν οὔτ' ἀρεταὶ οὔθ' αἱ κακίαι,

Aristot. de anima lib. 2. cap. 3. Ethi: ad Nicom: lib. 1. cap. 13. et lib. 6. ca. 1.

Eth: ad Nicom: lib. 2. cap. 5. Mag. mor. lib. 1. cap. 7. Ad Eudœ. lib. 2. cap. 2. Nemesius cap. 16.

Οὐ

Οὐ γὰρ κινήσεις ἀπροαιρέτως γινόμεναί εἰσιν ὡς τὰ πάθη, ἀλλὰ προαιρετικαὶ αἱ ἀρεταί, καθ' ἃς οὐ κινεῖσθαι λεγόμεθα ὡς κατὰ τὰ πάθη, ἀλλὰ πῶς διακεῖσθαι. Τὰ ἄρα πάθη καθ' ὃ μὲν κινήσεις εἰσὶν ἐξ αὐτοῦ τοῦ παθητικοῦ τῆς ψυχῆς, ἐνέργειαί τινές εἰσι, καὶ κατὰ φύσιν, τοῦ ἀγαθοῦ ἢ κακοῦ ἕνεκα κινούμενα, οὐκ ἑκούσια, φυσικὰ δὲ μᾶλλον: αἱ δὲ ἀρεταὶ ἑκούσιαι ἀεί, καὶ ἐκ προαιρέσεως: καθ' ὅσον δὲ ἄμετροί εἰσι τὰ πάθη κινήσεις, καὶ οὐ κατὰ φύσιν, ἢ ἐνέργειαι, ἀλλὰ παρὰ φύσιν, οὐ μὴ ἀρετὰς ἄν τις αὐτὰ λέξειε. Ἔτι οὐ λεγόμεθα κατὰ τὰ πάθη σπουδαῖοι ἢ φαῦλοι, οὔτε ἐπαινούμεθα οὔτε ψεγόμεθα, ἀλλὰ κατ' ἀρετὰς καὶ κακίας,
ἐπειδὴ τὸ σπουδαῖον εἶναι τὸ τὰς ἀρετὰς Mag: mor:
ἔχειν ἐστί. ψέγεται δὲ καὶ ἐπαινεῖται οὐ τὰ ἐξ lib. 1. cap. 1.
ἀνάγκης, ἢ τύχης, ἢ φύσεως ὑπάρχοντα, Eth. ad Eudæ:
ἀλλ' ὅσων αὐτοὶ αἴτιοί ἐσμεν, ὅσων γὰρ ἄλλος lib. 2.
αἴτιος, ἐκεῖνος καὶ τὸν ψόγον, καὶ τὸν cap. 6.
ἔπαινον ἔχει. καί ἄρα περὶ τὰ πάθη ἀρετὴ ἡ ἠθική ἐστι, ἡ ποιεῖ τὸν καλῶς ἀχθέντα ἐκ παίδων, καὶ ἀρετὴν τὴν ἠθικὴν ἔχοντα δύνασθαι κρατεῖν τῶν παθῶν εἰς τὸ εἰς ἀμετρίαν αὐτῶν οὐκ ἐμπίπλεσθαι. Διὸ καὶ ἐτυμολογοῦντές τινες, ἀρετὴν τὴν ἠθικὴν παρὰ

τὸ ἐκ παθῶν τὰ ἤθη τοῦτ᾽ ἐστὶ μικρὰς κινήσεις τὴν αἴσθησιν λανθανούσας ποιεῖσθαι, λέγονται.

Aristot. in lib. de præ= dicamentis cap.6.

Δυνάμεις λέγω οὐ ποιότητας ἐξ ἔθους γινομένας, ἀλλὰ φυσικάς. οὐ γὰρ τῷ διακεῖσθαι πῶς ἑκάστη τῶν τοιούτων λέγεται, ἀλλὰ τῷ δύναμιν ἔχειν φυσικὴν τοῦ ποιῆσαί τι ῥᾳδίως, ὥσπερ ἐν τῇ κοιλίᾳ ἡ χύλωσις, ἐν ἥπατι ἡ αἱμάτωσις καὶ χύμωσις, ἐν ψυχῇ δύναμις φυσικὴ, καθ᾽ ἣν παθητικοὶ τῶν παθῶν λεγόμεθα, οἷον καθ᾽ ἃς δυνατοί ἐσμεν ὀργισθῆναι, λυπηθῆναι, ἐλεῆσαι, ἢ καὶ τὰ τοιαῦτα, καὶ κατὰ πάθη ἐνεργοῦντες, οἷον ὀργίλος, ἀνάλγητος, ἐρωτικὸς, αἰσχυντηλὸς, ἀνέχυντος. Καὶ ῥα δυνάμεις εἶναι αἱ ἀρεταὶ οὐ δύνανται. οὐ γὰρ τῷ δύναμιν ἔχειν καλῶς καὶ ἀγαθῶς πράττειν, ἀλλὰ τῷ πράττειν πολλάκις, καὶ ἐκ τοῦ πράττειν διακεῖσθαι, ἀγαθοὶ καὶ σπουδαῖοι λέγονται: οὐ γὰρ ἀγαθοὶ λεγόμεθα ἐκ τοῦ δύνασθαι εὖ πράττειν, οὔτε ἐπαινούμεθα, ἀλλ᾽ ὡς εἴρηται ἐκ τοῦ πολλάκις πράττειν καὶ εὖ διακεῖσθαι, ἔτι δὲ δυνατοὶ τῇ φύσει ἐσμὲν, ἀγαθοὶ δὲ ἐξ ἔθους γινόμεθα, ὡς Πλάτων λέγει, τούτοις δὴ τοῖς λόγοις παγκάλως λεγομένοις, ὡς διδακτὴ ἡ ἀρετὴ,

Plato in Clitiphone

καὶ

καὶ πάντων ἑαυτοῦ δεῖ μάλιστα ἐπιμελεῖσθαι, σχεδὸν οὐτ' ἀντεῖπον πώποτε, οὔτ' οἶμαι μήποτε ἕξειν ὑπὲρ ὧν ἀντείπω. Εἰ μὲν οὖν μήτε πάθη εἰσὶν αἱ ἀρεταὶ, οὔτε δυνάμεις, ἕξεις αὐτὰς εἶναι λείπεται. Εἰσὶ δὲ ἕξεις, ἐξ ἔθους γινόμεναι ποιότητές τινες καὶ ἀπ' αὐτοῦ τὴν ἐπίδοσιν καὶ τὴν τελειότητα ἔχουσαι, αἱ αἴτιαί εἰσι τοῦ τὰ πάθη καὶ δυνάμεις ἢ κατὰ λόγον ὑπάρχειν, ἢ ἐναντίως, οἷον ἀνδρεία, σωφροσύνη, δειλία, ἀκολασία, ἢ καθ' ἃς πρὸς τὰ πάθη ἢ πράξεις εὖ ἔχομεν, ἢ καὶ κακῶς διακείμεθα, οἷον πρὸς τὸ ὀργισθῆναι, εἰ μὲν λίαν ὀργίλως, κακῶς ἔχομεν πρὸς ὀργὴν, εἰ δὲ ὅλως μὴ ὀργιζόμεθα, ἐφ' οἷς δεῖ, κακῶς ἔχομεν καὶ οὕτω, ὅταν ἄρα μέσως ἔχομεν πρὸς ὀργὴν εὖ διακείμεθα. Ὁμοίως δὲ πρὸς τὰ ἄλλα τὰ ὅμοια. τὸ δὲ εὖ ἔχειν πρὸς ταῦτά ἐστι τὸ μήτε πρὸς τὴν ὑπερβολὴν μήτε πρὸς τὴν ἔνδειαν ἔχειν.

Θεοῦ μὲν δώρημα τὴν ἀρετὴν ἀνθρώποις εἶναι, *Eth. ad Nicom. lib. 1. cap. 9.*
καὶ ἐν αὐτοῖς τοῦ θεοῦ εἰκόνα ὁμολογοῦμεν. εἰ γὰρ ἄλλο τι δῶρον θεοῦ λέγεται, εὔλογον καὶ τὴν εὐδαιμονίαν καὶ εὐπραγίαν θεόσδοτον εἶναι *Plato in li. de uirtute, an sit docibilis.*
καὶ θεόπεμπτον, καὶ τὰ τῆς ἀρετῆς πρῶτα στοιχεῖα φύσει ἡμῖν ἐμπεφυμένα εἶναι, μάλιστα δὲ ἀρετὴν τὴν ἡρωϊκὴν τὴν ὑπὲρ

ἡμᾶς, καὶ θεῖαν, καὶ σπουδαιοτάτην, ὥσπερ
Eth. ad Nicom. lib. 7. cap. 1. Ὅμηρος περὶ Ἕκτορος λέγοντα πεποίηκε τὸν Πρίαμον, ὅτι σφόδρα ἦν ἀγαθός:

οὐδὲ ἐῴκει
Ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι ἀλλὰ θεοῖο.

Magn. moral. lib. 1. cap. 12. & 35. Οὐ γὰρ ἔσται τὸν προαιρούμενον εἶναι σπουδαιότατον, ἂν μὴ ἡ φύσις ὑπάρχῃ θεία, καί ἐστι σπάνιον τὸ θεῖον ἄνδρα εἶναι, ὅταν ἡ φυσικὴ ἀρετὴ πρὸς τὸν λόγον καὶ προαίρεσιν προστιθεμένη, τέλειαν ποιεῖ τὴν ἀρετὴν, καὶ ἄνευ φυσικῆς ὁρμῆς καὶ τῆς θεοῦ εἰσπνοῆς τοιαύτη ἀρετὴ οὐ πάνυ τελειοῦται: ἀλλὰ ἐπεὶ μετὰ τὴν ἔκπτωσιν πλάνην τἀ-
Eth. Nico. lib. 1. cap. 3. γαθὰ ἔχει μεγάλην, καὶ ἐξυβρίζει ἀντὶ τοῦ λόγου τὰ πάθη, καὶ ἐπιθυμία, ἔτι καὶ μεμαυρωμένος ὁ τοῦ ἀνθρώπου νοῦς ἐστι: μαθητόν τι ἡ ἀρετή ἐστιν, ἐθιστὸν, καὶ ὡς ἕξεις ἄλλαι ἀσκητὸν. δύναται γὰρ ὑπάρξαι πᾶσι τοῖς μὴ πεπηρωμένοις πρὸς ἀρετὴν διά τινος μαθήσεως, ἐπιμελείας, καὶ ἔθους. Ὥσπερ γὰρ ἡ ψυχὴ τῶν αἰσθητῶν διὰ τῶν αἰσθητηρίων ἀντιλαμβανομένη, καὶ τῶν νοητῶν διὰ τοῦ νοῦ, τύπους ὧν τε ἐδόξασεν, ὧν τε ἐνόησεν ἐν τῷ μνημονευτικῷ διασώζουσα αὐτοὺς τῷ ἐγκεφάλῳ ἐγχαράττει, εἰς τὸ μάθημα καὶ ἕξεις διανοητικὰς γίνεται:

ἔτι

οὕτω καὶ ἡ ψυχὴ τὰ ἀσφαλῆ θεοῦ νόμιμα,
ἄπρακτά τε καὶ πρακτὰ πολλάκις διανοοῦσα,
καὶ εἰς ἐνέργειαν, διάγουσα ἐν τῷ πράττειν,
τύπους αὐτῶν τῇ διανοήσει ἐγχαράττει, καὶ
διὰ ψυχικοῦ πνεύματος τῇ καρδίᾳ πα-
ραπέμπει αὐτὰ τὰ τοῦ καλοῦ διανοήμα-
τα, ὧν ἐντυπουμένων τῇ καρδίᾳ χαρακτῆ-
ρες, εἰς τὸ τὰς ἕξεις τὰς βουλευτικὰς ἢ
προαιρετικὰς γίνεσθαι. Οὕτως ἐκ τοῦ τὰ Eth.ad Ni=
δίκαια ἢ τὰ σώφρονα πολλάκις τινὰ, εἰ- com. lib.2.
δότα καὶ προαιρούμενον πράττειν, δίκαιος cap.4.
καὶ σώφρων τις γίνεται, ἐκ δὲ τοῦ μὴ πράτ-
τειν ταῦτα, οὐδεὶς ἂν οὔτε δίκαιος οὔτε σώ-
φρων μελλήσειε γίνεσθαι. Εστιν οὖν ἡ ἀρετὴ Aristot.in
ἕξις, καὶ ἐκ τῶν μονιμωτέρων, καὶ χρονιωτέ- lib. τῶν
ρων, εἴ γε μὴ ἀπείκασμα τῆς ἀρετῆς μᾶλ- κατηγο-
λον ἢ ἀληθὴς ἀρετὴ, καὶ ἐκ προαιρέσεως ριῶν cap.6.
ἕξις ὑπάρχει. ὥσπερ γὰρ ἐὰν μετρίως ἐπι-
στήμην τις λάβοι, ἐάν γε μὴ μεγάλη γί-
νηται μεταβολὴ ὑπὸ νόσου ἢ ἄλλου τινὸς
τοιούτου, πάντως αὐτὴ σπανίως ἀφαιρεῖται,
ὡσαύτως καὶ ἡ ἀρετὴ οἷον ἡ δικαιοσύνη, καὶ ἡ
σωφροσύνη καὶ ἕκαστον τῶν τοιούτων, οὐκ εὐ- Eth. Nico-
κίνητον δοκεῖ εἶναι, οὐδὲ εὐμετάβλητον, καί com. lib. 2.
ῥα, οὐ οἱ δίκαια πράττοντες, δίκαιοι ἤδη γί- cap.4. &
νονται, καὶ τὰ σώφρονα ἤδη σώφρονές εἰσι, ib.7.ca.10.

οὐ γὰρ κατὰ τὰς ἀρετὰς γινόμενα ἀρκεῖ ἐὰν
αὐτά πως ἔχῃ, ἀλλὰ καὶ ἐὰν ὁ πράττων πρῶ-
τον μὲν εἰδὼς πράττῃ, ἔπειτα ἐὰν προαιρού-
μενος, τὸ δὲ τρίτον ἐὰν βεβαίως καὶ ἀμετα-
κινήτως ἔχων πράττῃ. Τοῦτο σκοπούμενος
ὁ ἡσίοδος λέγει:

Hesiod. de operibus.

Τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδόν ἐστι ἑλέσθαι
Ῥηϊδίως, λείη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει.
τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
Ἀθάνατοι. μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ'
αὐτὴν,
καὶ τρηχὺς τὸ πρῶτον, ἐπὴν δὲ ἐς ἄκρον ἵκηται,
Ῥηϊδίη δὲ ἔπειτα πέλει, χαλεπή περ ἐοῦσα.

Μαρτυρεῖ δὲ καὶ Πρόδικος ὁ σοφὸς ἐν τῷ
συγγράμματι τῷ περὶ τοῦ ἡρακλέους. Ἐρο-
μένου τινὸς αὐτὸν τί δοκοίη αὐτῷ κράτιστον
ἀνδρὶ ἐπιτήδευμα εἶναι, ἀπεκρίνατο,
εὐπραξίαν: ἐρομένου δὲ πάλιν εἰ καὶ τὴν εὐ-
τυχίαν ἐπιτήδευμα νομίζοι εἶναι πᾶν; μὲν
οὖν τοὐναντίον ἔγωγε, ἔφη, τύχην καὶ πρᾶξιν
ἡγοῦμαι: τὸ μὲν γὰρ μὴ ζητοῦντα ἐπιτυχεῖν
τινὶ τῶν δεόντων εὐτυχίαν εἶναι, τὸ δὲ μα-
θόντα τι εὐποιεῖν εὐπραξίαν νομίζω, καὶ οἱ
τοῦτο ἐπιτηδεύοντες δοκοῦσί μοι εὖ πράττειν.

Xenophō.

καὶ ἄλλος λέγει: ὅσαι δὴ ἐν ἀνθρώποις ἀρε-
ταὶ λέγονται σκοπούμενος, εὑρήσεις πάσας

μαθήσει

μαθήσει τε καὶ μελέτῃ αὐξανομένας. Ἀλλ᾽ ἀπορήσειε ἄν τις, ἐπειδὴ τῶν παθῶν τε καὶ τοῦ λόγου διχοστασία πολλάκις γίνεται, καὶ ἐπὶ τὸ πολὺ, καὶ ἀγαθοὶ ἄνδρες σπάνιοί

Plato in lib. an uirtus docibilis.

εἰσιν, οἱ ὡς Πλάτων λέγει, ὀνομάζονται καὶ λέγονται μόνον, ὡς ἱπποκένταυροι καὶ γίγαντες, καὶ κύκλωπες, ἔργον δὲ ἀμεμφὲς εἰς ἀρετὴν, καὶ ἀκέραιον οὐκ ἔστιν εὑρεῖν, οὐδὲ πάθους ἀκέραιον ἦθος καὶ ἄθικτον: ἀλλὰ εἰ καί τι καλὸν ἡ φύσις αὐτομάτως ἐκφέρει, τοῦτο πολλῷ ἀλλοτρίῳ, καθάπερ ὕλη καρπὸς ἀγρία, καὶ ἀκαθάρτῳ, μιγνύμενος, ἐξαμαυροῦται: πῶς οὖν ἕξις ἂν εἴη ἡ ἀρετὴ, καὶ πῶς ἀγαθὸς καὶ καλός τις λεχθείη;

Theages Pythagoricus in lib. de uirtutibus.

ἐπειδὴ ἡ τοῦ ἤθεος ἀρετὴ περὶ πάθη, τῶν δὲ παθέων ἡδονὴ καὶ λύπη ὑπέρτατα, φανερὸν ὅτι οὐκ ἐν τῷ ὑπεξελέσθαι τὰ πάθη τῆς ψυχῆς ἡδονὴν καὶ λύπην ἡ ἀρετὴ πέπλωκεν, ἀλλὰ ἐν τῷ ταῦτα συναρμόζεσθαι, οὐδὲ γὰρ ὑγίεια, εὐκρασία τις οὖσα τῶν τοῦ σώματος δυνάμεων, ἐν τῷ ὑπεξελέσθαι τὸ ψυχρὸν καὶ τὸ θερμὸν, καὶ τὸ ὑγρὸν, καὶ τὸ ξηρὸν πέπλωκεν, ἀλλ᾽ ἐν τῷ ταῦτα συγκεραθῆναι, ἐστὶ γὰρ οἷον συμμετρία τις τούτων. οὐδὲ ἐν τῇ μουσικῇ ἐν τῷ ὑπεξελέσθαι τὸ ὀξὺ καὶ τὸ βαρὺ τὸ σύμφωνον πέπλωκεν, ἀλλ᾽ ἐν τῷ

ταῦτά πως συναρμόσασθαι· συναρμογὴν τῆς ὀξέος καὶ τῆς βαρέος, τὸ μὲν σύμφωνον ἐναπολαμβάνεται, τὸ δὲ διάφωνον ἐκκρίνεται: Οὕτω συναρμοσμένων καὶ τοῦ θυμοῦ καὶ ἐπιθυμίας, αἱ μὲν κακίαι καὶ τὰ πάθη τὰ παρὰ φύσιν ἐξαιρέονται, αἱ δὲ ἀρεταὶ καὶ τὰ ἤθη ἐγγίνονται. Οὐκ οὖν ἐκκόπτειν τὰ πάθη πειρᾶσθαι χρεών, ἀμήχανον γὰρ τοῦτο, ἀλλ' εἴπερ ἄρα εἴη ἐπικόπτειν τε καὶ πραΰνειν κομίζειν δεῖ ἐφ' ὅσον δυνατόν, καὶ νουθετεῖν: ταύτην γὰρ εὐμενῶς προσίεται τὴν ἐπιμέλειαν, καὶ οὕτως σοι αὐτὰ παιδαγωγοῦντι, ἀναφανήσεται χρήσιμά τε καὶ ὠφέλιμα, ἀντὶ ἀχρήστων καὶ βλαβερῶν. Οὐ γὰρ ὁ θεὸς αὐτὰ ἐνεκεράσατο τῷ ἀνθρώπῳ ὅπως λώβην τε αὐτῷ καὶ αἶσχος προσθείη, ἀλλὰ καὶ ταῦτα πρὸς διαμονὴν, καὶ σωτηρίαν τοῦ γένους προσήφηνέ τε καὶ προσῳκοδόμησε τῇ ψυχῇ: θυμὸν μὲν ὅπως ἂν τὰ βλάπτοντα ἀμυνώμεθα, ἐπιθυμίαν δὲ ἐδωδῆς καὶ ποτῶν, πρὸς τὸ σύμφυτον καὶ ἀναγκαίαν ἀποῤῥοὴν, καὶ οὕτω δὴ, ἄλλο πρὸς ἄλλην τινὰ τεταγμένην τοῦ σώματος χρείαν. μένειν δὲ ἕκαστον χρὴ ἐν τῷ μέτρῳ, καὶ τὸ μέτρον τοῦτο ἑκάστου γίνεται ἀρετὴ, τοῦ μὲν θυμοειδοῦς ἀνδρεία, τοῦ δὲ ἐπιθυμητικοῦ, σωφροσύνη, τοῦ δὲ αὖ φι-

Themistius lib. de moderatione affectuum.

λοχρη-

λογισμάτων καὶ φιλοκερδοῦς, ἐλευθε-
ριότης τε καὶ μεγαλοπρέπεια, ὅσον δὲ ἐπτόηται
περὶ τιμὰς καὶ δυνάμεις καὶ προεδρίας, τοῦ-
του ἐστὶ τὸ μέτρον μεγαλοψυχία. σπου-
δάζεσθαι δὲ χρὴ διὰ παντὸς, καὶ ὥσπερ
οἱ τὰς κλίμακας ἀναβαίνειν ἀρξάμενοι,
οὐ πρότερον ἵστανται τῆς ἐπὶ τὰ ἄνω
φορᾶς, πρὶν ἂν τῆς ἄκρης ἐφίκωνται
βαθμίδος, οὕτω καὶ ἡμᾶς περὶ τῶν παθῶν
ἔχεσθαι δεῖ, καὶ τῆς τῶν καλῶν ἀναβάσεως,
εἰς τὸ τέλους ἀρίστου στοχάζεσθαι. Ὅτι μὲν
οὖν τ' ἀληθὲς τῆς ἀρετῆς γένος τῷ ὁρίζεσθαι
ἕξις ἐστὶν ἀποδέδεικται: Δεῖ δὲ οὐ μόνον οὕτως Arist. Eth.
εἰπεῖν ὅτι ἕξις ἐστὶν ἡ ἀρετὴ, ἀλλὰ καὶ ποία- Nicom: lib.
τις ἐστὶν ἕξις λεκτέον, καὶ σοφῶς διορίζεται 2. cap. 6.
Ἀριστοτέλης ἕξιν εἶναι προαιρετικὴν, ἀλη-
θῆ τὰ τῆς ἀρετῆς αἴτια συλλαμβανόμενος
ὅτι μὲν οὖν προαιρετικὴ ἡ ἀρετή ἐστι δεῖ ἀπο-
δειχθῆναι. Ἐφ' ἡμῖν τὰς ἀρετὰς εἶναι καὶ
αὐτεξουσίους προείρηται, καὶ ἔργα οὐ τοῦ σώματος,
ἀλλὰ τῆς ψυχῆς ἐνεργείας. Ἐστὶ δὲ τρία Eth. ad Ni-
ἐν τῇ ψυχῇ τὰ κύρια πράξεως τῆς ἀρετῆς com: lib. 6.
καὶ τῆς ἀληθείας, αἴσθησις, νοῦς καὶ ὄρεξις. τού- cap. 2.
των δὲ ἡ αἴσθησις οὐδεμιᾶς ἀρχὴ ἀρετῆς.
Δῆλον δὲ τῷ τὰ θηρία αἴσθησιν μὲν ἔχειν,
πράξεως δὲ τοῦτ' ἐστὶν ἀρετῆς μὴ κοινωνεῖν.

λείπεται

Aristot. de Anima lib. 3.ca.4.5.6. Eth:ad Nicom: lib.1. cap.16. lib. 6.ca.2.

λείπεται οὖν τῆς ἀρετῆς ἀρχὴν ἢ νοῦν εἶναι, ἢ τινὰ ὄρεξιν, ἢ καὶ ἐκ τούτων τι μεμιγμένον, καὶ ταῦτα συναμφότερα. Τὸν νοῦν λέγω τῆς λογικῆς ψυχῆς μέρος διανοίᾳ τῆς ἀληθείας στοχαστικὸν, ὃ λογίζεται, νοεῖται, συνίησι, κρίνει, ἀριθμεῖται, γινώσκει, δοξάζει, ὑπολαμβάνεται, πιστεύει, καὶ πάντως τὸ εὖ καὶ τὸ κακῶς αὐτοῦ τὸ ἀληθές ἐστι καὶ ψεῦδος: ἐν θεωρίᾳ γὰρ ὑπάρχων μόνον, οὐδὲ πρακτικός ἐστιν, οὐδὲ ὀρεκτικὸς. αὐτὸς οὖν ἁπλῶς καὶ καθόλου τῆς ἀρετῆς ἀρχὴ καὶ τέλεια οὐκ ἔστιν, ἀλλὰ κατὰ μέρος, μόνον τι αἱρετέον ἐστὶ προκρινόμενος: ἀλλ' οὐδὲ καὶ ἡ ὄρεξις καθόλου καὶ ἁπλῶς τῆς ἀρετῆς ἐστιν ἀρχὴ, διαιρεῖται γὰρ εἰς τρία ἡ ὄρεξις, εἰς ἐπιθυμίαν, καὶ θυμὸν, καὶ βούλησιν, ἀλλ' ὅτι μὲν οὔτε θυμὸς οὔτε ἐπιθυμία ἐστὶν ἡ τῆς ἀρετῆς ἀρχὴ, φανερὸν ἐκ τοῦ μὴ κοινωνίαν εἶναι τοῖς ἀνθρώποις πρὸς τὰ ἄλογα κατ' ἀρετὴν, ἀλλὰ κατ' ἐπιθυμίαν, καὶ θυμὸν. εἰ γὰρ κατὰ ταῦτα μὲν κοινωνοῦμεν, κατὰ δὲ τὴν ἀρετὴν διαφέρομεν, δῆλον ὡς ἄλλο μέν τι ἂν τῆς ἀρετῆς ἀρχὴ εἴη, ἄλλο δὲ θυμὸς καὶ ἐπιθυμία. λείπεται ἡ βούλησις ἀρχὴ τῆς ἀρετῆς οὖσα, ἀλλ' οὐ μόνη, οὔτε ἁπλῶς: ἀρχὴν μὲν εἶναι φανερὸν, ὅτι τὸ καθ'

Eth.ad Nicom: lib. 3. cap.2. Magno:moral. lib.1.ca.18. Eth.ad Eu. lib.2.cap.8. 10. &c. Nemesius cap. 33.

ἀρετὴν

ἀρετὴν γινόμενον ἑκουσίως ἀεὶ γίνεται καὶ ἐκ
βουλήσεως, ἀλλ' οὐκ ἀντιστρέφονται, οὐ γὰρ
πᾶν τὸ ἑκούσιον ἀρετή ἐστιν, ἢ τῆς ἀρετῆς ἀρ-
χὴ, οὐδὲ πᾶσα βούλησις, καὶ οὐκ αὐτὴ ἁ-
πλῶς ἀρχὴ αὐτῆς καὶ μόνη ἐστὶ, τοῦ νοῦ κατὰ
μέρος ὡς προείρηται ἀρχὴ ὄντος, εἰς τὸ
μὴ κενὴν γενέσθαι καὶ ματαίαν τὴν ὄρεξιν.
Οὐκ οὖν ὁ νοῦς, οὐδὲ ἡ βούλησις ἀρχὴ ἀρε-
τῆς καθ' ἕκαστόν ἐστι: λείπεται οὖν μικτόν τι
ἐκ κρίσεως καὶ ὀρέξεως ἀρχὴν εἶναι, τοῦτ' ἔστι
τὴν προαίρεσιν, ἡ οὔτ' ὄρεξίς ἐστι καθ' ἑαυ-
τὴν μόνη, οὔτε νόησις, ἢ βουλὴ μόνη, ἀλλ' ἐκ
τούτων τι συγκείμενον. Καθάπερ γὰρ λέ-
γομεν τὸ ζῶον ἐκ ψυχῆς καὶ σώματος
συγκεῖσθαι, μήτε σῶμα εἶναι μόνον καθ'
ἑαυτὸ τὸ ζῶον, μήτε ψυχὴν μόνην, ἀλλὰ
τὸ συναμφότερον: οὕτω καὶ τὴν προαίρεσιν,
βουλήν τινα καὶ βούλησιν μετ' ἐπικρίσεως
λέγομεν. ἔστι γὰρ προαιρετὸν τῆς ἐτυμολο-
γίας τοῦτο φανερούσης, τὸ ἕτερον πρὸ ἑτέρου
αἱρετόν. Οὐδεὶς γὰρ προκρίνει τι μὴ βουλευ-
σάμενος, οὐδὲ αἱρεῖται μὴ κρίνας: καὶ ἐπει-
δὴ οὐ πάντα τὰ δόξαντα ἡμῖν εὖ ἔχειν, εἰς
ἔργον ἀγαγεῖν προθυμούμεθα, τότε προαί-
ρεσις καὶ προαιρετὸν γίνεται τὸ προκριθὲν
ἐκ τῆς βουλῆς, ὅταν προσλάβῃ τὴν ὄρεξιν.
Συνά-

Συνάγεται δὴ ἐκ τούτων προαίρεσιν εἶναι ὄρεξιν βουλευτικὴν τῶν ἐφ' ἡμῖν καὶ δι' ἡμῶν δυναμένων γίνεσθαι, καὶ ἄδηλον ἐχόντων τὸ τέλος. Τοῦ γὰρ προκριθέντος ἐκ τῆς βουλῆς προαιρούμενοι ἐφιέμεθα. Πρὸς τὴν οὖν τῆς ἠθικῆς ἀρετῆς προαίρεσιν ὀρθὸν δεῖ προσκεῖσθαι λόγον καὶ ἀληθῆ, ἔπειτα καὶ τὴν ὄρεξιν ὀρθὴν ἔτι καὶ αὐτὰ τὸν μὲν νοῦν φάναι, καὶ τὴν ὄρεξιν διώκειν. Πράξεως τοίνυν ἀρχὴ ἡ προαίρεσις, νοῦς ὀρεκτικὸς, ἢ ὄρεξις διανοητικὴ, ὅθεν καὶ ἡ κίνησίς ἐστι, διὸ καὶ οἱ πυθαγόρειοι ἀρχὰς τῆς συμπάσης ἀρετῆς τρεῖς εἶναι λέγουσι, γνῶσιν, δύναμιν, καὶ προαίρεσιν: γνῶσιν ᾗ κρίνομεν καὶ θεωροῦμεν τὰ πράγματα, δύναμιν οἷον ἀλκήν τινα τοῦ σκάνεος ᾗ ὑφιστάμεθα καὶ ἐμμένομεν τοῖς πράγμασιν, προαίρεσιν οἷον χεῖρας τῆς ψυχῆς τινας αἷς ὁρμῶμεν καὶ ἀντιλαζόμεθα τῶν πραγμάτων, (ἣν ὁ Ἀριστοτέλης σαφώτερον βούλησιν εἶναι λέγει) ἀρετὴν δὲ ὅταν τὸ μὲν κρεῖσσον ἄρχῃ τῆς ψυχῆς μέρος, τὸ δὲ χεῖρον ἄρχηται, καὶ τὸ μὲν ἡγεῖται, τὸ δὲ ἕπηται, ἀμφότερα δὲ συνευδοκῆται καὶ συνομολογῆται ἀλλήλοις. Τοῦτο σκοπούμενος ὁ Σωκράτης ἔφη: τοῦ βίου καθάπερ ἀγάλματος πάντα τὰ μέρη καλὰ εἶναι δεῖ,

Eth: ad Nicom: lib. 6. cap. 2.

Socrates.

δεῖ, ἀνδριὰς μὲν ἐπὶ τῆς βάσεως, σπουδαῖος δὲ ἀνὴρ ἐπὶ καλῆς προαιρέσεως ἑστώς, ἀμετακίνητος ὀφείλει εἶναι. Ὅτι δὲ ἀντακολουθοῦσιν αἱ ἠθικαὶ ἀρεταὶ δεικτέον καὶ ἀπὸ τῆς προαιρέσεως, εἰ γὰρ ἡ ἀρετὴ μάλιστα τῇ προαιρέσει κρίνεται, δεῖ τῷ καλῶς βουλευομένῳ τὸν σκοπὸν ὀρθὸν κεῖσθαι, εἰς ὃν περὶ τῶν συντελούντων εἰς αὐτὴν βουλεύεται, καὶ τὰ αὐτὰ μὲν ἀεὶ τὸν νοῦν φάναι, καὶ τὴν ὄρεξιν διώκειν. καλῶς οὖν Διόδωρος λέγει: οὐκ ἐκ τῶν ἀποτελεσμάτων κρίνειν δεῖ τοὺς ἀγαθοὺς ἄνδρας, ἀλλ' ἐκ τῆς προαιρέσεως.

Diodorus Siculus de pugna Leonidæ ad Thermopylas.

Καί ῥα ἕξιν εἶναι προαιρετικὴν τὴν ἀρετὴν μέχρι ἐνταῦθα ἀποδέδεικται: ὑπόλειπόν ἐστιν ἐν μεσότητι εἶναι τὴν ἀρετὴν καὶ τὸν αὐτῆς τρόπον μεσότητα εἶναι διασαφῆναι.

Καθάπερ τὸ πᾶν, καὶ τὰ πάντα τρισὶν ὥρισται οἱ Πυταγόρειοί φασιν, οὕτω καὶ Ἀριστοτέλης τελευτὴν καὶ μέσον καὶ ἀρχὴν τὸν ἀριθμὸν ἔχειν τὸν τοῦ παντὸς λέγει, καὶ οὐ μόνον τὰς τέχνας καὶ ἐπιστήμας, ἀλλὰ καὶ τὴν ἀρετὴν καὶ ὅλην τὴν φύσιν τοῦ μέσου εἶναι στοχαστικήν.

Aristotel. lib. 1. de cœlo cap. 1.

Καὶ καλῶς τοῦτο λέγεται: σώζεται γὰρ ἡ φύσις ἀναλογίαν ἐχούσης πρὸς τὸ σώματος τῆς τροφῆς, ὡς καὶ ἐν κινήσεσι, πράξεσι, καὶ πάθεσι, τοῖς τῆς μεσότητος στοχαστικοῖς, ὑπερβολὴ

Eth. ad Nicom. lib. 1. cap. 9.

δὲ καὶ

δὲ καὶ ἔνδεια φθείρει, καὶ οὕτω ἐν τοῖς ἄλλοις.
Πᾶσα δὲ τέχνη καὶ ἐπιστήμη οὕτω τὸ ἔργον ἑαυτῆς εὖ ἐπιτελεῖ πρὸς τὸ μέσον βλέπουσα, καὶ εἰς τοῦτο ἄγουσα τὰ ἔργα, ὡς οὔτε προσθεῖναι οὔτε ἀφελεῖν τι τοῖς ἔργοις εἶναι, τῆς ἐλλείψεως καὶ ὑπερβολῆς τὸ εὖ φθειρούσης. Εἰ δὲ φύσις ὅλη, ἐπιστῆμαι, καὶ τέχναι τὸ μέσον φιλοῦσι, δῆλον ὅτι ἡ ἀρετὴ πάσης τέχνης ἀκριβεστέρα καὶ ἀμείνων τοῦ μέσου ἂν εἴη στοχαστική.

Democritus.

Ἀνθρώποισι γὰρ εὐθυμία γίνεται μετριότητι τέρψιος, καὶ βίου συμμετρίᾳ, τὰ δὲ λείποντα, καὶ ὑπερβάλλοντα μεταπίπτειν τε φιλεῖ καὶ μεγάλας κινείσιας ἐμποιεῖν τῇ ψυχῇ· αἱ δὲ μεγάλων διαστημάτων κινούμεναι τῶν ψυχῶν, οὔτε εὐσταθέες εἰσὶν, οὔτε εὔθυμοι.

Ex Fragmentis Theagis.

Δεῖ οὖν ἕξιν τοῦ δέοντος ὑπάρχουσαν τὴν ἀρετὴν, καὶ μεσότητα τῶν παθῶν, μήτε ἀπαθῆ μήτ' ἐκπαθῆ εἶναι. ἡ μὲν γὰρ ἀπάθεια ἀπόρμητον καὶ ἀνενθουσίαστον παρέχεται τὴν ψυχὴν πρὸς τὸ καλόν. ἡ δὲ ἐκπάθεια συντεταραγμένον καὶ ἀνεπιλόγιστον. δεῖ οὖν τὸ πάθος οὕτω παρεμφαίνεσθαι ἐν τῇ ἀρετῇ, ὥσπερ καὶ τὴν σκιὰν καὶ τὴν γραμμὴν ἐπὶ τῆς γραφῆς, τὸ γὰρ ἔμψυχον καὶ τὸ ἁπαλὸν, καὶ τὸ μεμιμημένον τὴν ἀλήθειαν σὺν τῇ χρηστότητι τῶν

χρωμάτων, μάλιστα γίνεται διὰ τούτων. Ἔμψυχα δὲ ἐκ παρορμήσεως καὶ ἐνθουσιασμοῦ ἀρετῆς τῆς κατὰ φύσιν τὰ πάθη τῆς ψυχῆς. γίνεται γὰρ ἐκ παθῶν ἡ ἀρετὴ, καὶ γεννηθεῖσα πάλιν συναύξεται τούτοις. Οὐκ οὖν ἀφελεῖν δεῖ τὰ πάθη ὡς καὶ προείρηται, οὔτε γὰρ δυνατὸν οὔτε ὠφέλιμον τοῦτο, ἀλλὰ συναρμόσασθαι πρὸς τὸ λόγον ἔχον τοῦ δέοντος καὶ τοῦ μετρίου, καὶ εἰς τοῦτο σκοπούμενος Ἀριστοτέλης μεσότητα τὴν ἀρετὴν ὁρίζεται, τὰ πάθη μάλιστα εἰσορῶν καὶ ἠθικὰς πράξεις. ὁ γὰρ πρακτικὸς λόγος ὁρίζων τὴν παθητικὴν κίνησιν, ἐμποιεῖ τὰς ἠθικὰς ἀρετὰς περὶ τὸ ἄλογον ἐλλείψεως καὶ ὑπερβολῆς μεσότητας οὔσας. Οὐ γὰρ ἁπασῶν ἀρετῶν μεσότητι γίνεσθαι ῥητέον, ἀλλ' ἡ μὲν ἀπροσδεὴς τοῦ ἀλόγου, καὶ περὶ τὸν εἰλικρινῆ καὶ ἀπαθῆ νοῦν συνισταμένη σοφία καὶ φρόνησις αὐτοτελής ἐστί τις ἀκρότης τοῦ λόγου καὶ δύναμις, ἡ τὸ θειότατον ἐγγίνεται τῆς ἐπιστήμης, καὶ μακαριώτατον, καὶ αὐτὴ ἀκρότης μέν ἐστι κυρίως τῇ δυνάμει καὶ τῇ ποιότητι, τῷ ποσῷ δὲ μεσότης γίνεται, τὸ ὑπερβάλλον ἐξαιροῦσα καὶ τὸ ἐλλεῖπον, καὶ κατὰ ὅμοιον τρόπον πᾶσα ἀρετὴ καὶ μεσότης ἐστὶ καὶ ἀκρότης, ἀκρότης μὲν ὅτι οὔτε ἀφαιρέσεως οὔτε προσθέσεως δεῖται, μεσότης δὲ ὅτι μεταξύ

Plutarchus in lib. de morali uirtute, quæ uirtutes habeant extrema.

Theages.

ἐστι τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως. διὸ καὶ Ἀριστοτέλης λέγει· κατὰ μὲν τὴν οὐσίαν καὶ τὸν λόγον τὸν τί ἦν εἶναι λέγοντα, μεσότης ἐστὶν ἡ ἀρετὴ κατὰ δὲ τὸ εὖ ἀκρότης, ἣ οὔτ᾽ ἀφαιρέσεως οὔτε προσθέσεως δεῖται.

Eth. ad Nicom: lib. 2. cap. 6.

Καὶ ὅτι μεσότης ἐστὶν ἡ ἀρετὴ καὶ ποία ἐστι μεσότης, ἐν τοῖς καθέκαστα πειράσομαι ἐφαρμόττειν. Τριμεροῦς τῆς ψυχῆς λαμβανομένης κατὰ τὸν Πλάτωνα, τοῦ μὲν λογιστικοῦ ἀρετή ἐστιν ἡ φρόνησις, τοῦ θυμοειδοῦς ἡ ἀνδρεία, τοῦ ἐπιθυμητικοῦ ἡ σωφροσύνη, ὅλης δὲ τῆς ψυχῆς ἡ δικαιοσύνη, ὥστε ἑνὸς μὲν ὄντος τῆς ἀρετῆς εἴδους, μέρη ἂν αὐτῆς τέσσαρα εἴη, τοῦ γὰρ θρεπτικοῦ τῆς ψυχῆς μορίου ἀρετὴ οὐδεμία ἐστὶν, ὡς καὶ λέγεται, ἡ γαστὴρ ὦτα οὐκ ἔχει.

Plato in Timæo. Aristot. in lib de uirtutibus. Plato 12. de leg: in Protagora & Lachete.

Ταῦτα τὰ τῆς ἀρετῆς εἴδη, καὶ ὑπ᾽ αὐτῶν συλλαμβανόμενα μέρη μεσότητές εἰσι, τῆς ὑπερβολῆς καὶ ἐνδείας τὸ μέσον φυλάσσοντα, ἄλλως μὲν ἡ φρόνησις, ἄλλως δικαιοσύνη, καὶ ἄλλως αἱ ἄλλαι ἀρεταί, ἐξ οὗ δῆλον ὅτι καθόλου ἡ ἀρετὴ ἐν μεσότητι ἂν εἴη.

Prudentia. Aristot. in lib. de uirtutibus.

Ἡ φρόνησις, τοῦ λογιστικοῦ ἀρετὴ παρασκευαστικὴ τῶν πρὸς εὐδαιμονίαν συντεινόντων, ἡ ἕξις καθ᾽ ἣν κρίνομεν τί πρακτέον καί τι οὐ πρακτέον εἰς αὐτοῦ ἀνθρώπου εὐδαιμονίαν,

αὐτοτελής τίς ἐστιν ὡς εἴρηται ἀκρότης τοῦ λόγου, καὶ δύναμις ᾗ τὸ θειότατον ἐγγίνεται τῆς ἐπιστήμης καὶ μακαριώτατον, κυρίως οὖν αὐτῆς ἄκρα οὐκ ὀνομαίνεται ἔλλειψις καὶ ὑπερβολὴ, ὅτι ἀκρότης ἐστὶν ἡ φρόνησις: ἔλλειψιν μὲν ἔχει τὴν ἀφροσύνην, κακίαν τοῦ λογιστικοῦ τοῦ κακῶς ζῆν αἰτίαν, τῆς ἐστι κρίνειν κακῶς τὰ πράγματα, τὸ κακῶς βουλεύσασθαι, τὸ ὁμιλῆσαι κακῶς, τὸ χρῆσθαι κακῶς τοῖς παροῦσιν ἀγαθοῖς, τὸ ψευδῶς δοξάζειν περὶ τῶν εἰς τὸν βίον καλῶν κἀγαθῶν: καὶ παρακολουθεῖ τῇ ἀφροσύνῃ ἀπειρία, ἀμαθία, ἀκρασία, ἐπαριστερότης, ἀβελτερία, ἀσυνεσία, ἀβουλία, ἀμνημοσύνη καὶ μωρία, ὑπερβολὴ δὲ αὐτῆς οὐκ εὑρίσκεται. Ἔστι δὲ τῆς φρονήσεως τὸ βουλεύσασθαι, τὸ κρῖναι τὰ ἀγαθὰ καὶ τὰ κακὰ, καὶ πάντα τὰ ἐν τῷ βίῳ αἱρετὰ καὶ φευκτὰ, τὸ χρήσασθαι πᾶσι καλῶς τοῖς ὑπάρχουσιν ἀγαθοῖς, τὸ ὁμιλῆσαι ὀρθῶς, τὸ συνιδεῖν τοὺς καιροὺς, τὸ ἀγχίνως χρήσασθαι καὶ λόγῳ καὶ ἔργῳ, τὸ τὴν ἐμπειρίαν ἔχειν τῶν χρησίμων πάντων. Καὶ ἀνάγκη μὲν ἥντινοῦν ἀρετὴν ἠθικὴν ἔχοντα φρόνησιν ἔχειν, ἡ γὰρ ἠθικὴ ἀρετὴ πρακτική ἐστι τῶν ὡρισμένων φρονήσει τε καὶ τῷ ὀρθῷ

Imprudentia. Aristot. in lib. de uirtutibus.

Adiacentia prudentiæ. Aristoteles de uirtutibus.

Alexand. Aphrodiseus de discrimine prudentiæ & uirtutis Moralis.

λόγῳ, ἀνάγκη δὲ καὶ τὸν φρόνησιν ἔχοντα, ἔχειν ἠθικὴν ἀρετὴν, ἐπειδὴ οἰκεῖον τῇ φρονήσει τὸ ζητεῖν πῶς οἷόν τε τυχεῖν τοῦ δέοντος σκοποῦ ὃν τῆς ἠθικῆς ἀρετῆς ὁρίζειν, αὐτὴ γὰρ τῆς ὀρεκτικῆς δυνάμεως ἀρετή. Οὐκ οὖν ἠθικὴ ἀρετὴ ἡ φρόνησίς ἐστι (διὸ καὶ ἀρετὴν Ἀριστοτέλης ἐν τοῖς πρὸς τὸν Νικόμαχον ἠθικοῖς ὀνομάζεσθαι αὐτὴν ἀπέχει) ἀλλὰ τοῦ λογιστικοῦ ἕξις, ἣν ἐν τῶν ἠθικῶν μεγάλων βιβλίῳ α ἀρετὴν τοῦ λογιστικοῦ εἶναι ἀποδείκνυται), ὅτι σπουδαῖον ποιεῖ τὸν πεποικότα, καὶ ἀρχιτέκτων καὶ κυβερνήτειρά τις ἀρετῶν τῶν ἠθικῶν ἡ φρόνησίς ἐστι, οὐκ ἐν μεσότητι ὡς ἐκεῖναι, αἱ περὶ τὰ πάθη, ἀλλ' αὐτὴ ἀκρότης οὖσα, μεσότης δὲ τοῦ πόσῳ, τὸ ὑπερβάλλον ἐξαιροῦσα καὶ τὸ ἐλλεῖπον. Καὶ ἄρα εἴδη αὐτῆς ἐστι, φρόνησις μοναστικὴ, καθ' ἣν μόνοι πράττουσιν οἱ φρόνιμοι, καὶ οἰκονομικὴ, καὶ πολιτική. μέρη δὲ τοσαῦτα, εὐβουλία, σύνεσις καὶ γνώμη. εὐβουλία τῆς βουλῆς ἐστιν ὀρθότης ἡ κατὰ τὸ συμφέρον πρὸς τὸ τέλος οὗ ἡ φρόνησις ἀληθὴς ὑπόληψίς ἐστι, καὶ ἄρα ἡ ἐν τῷ συμβουλεύεσθαι δεινότης ἀγχίνοια λέγεται, ἥ ἐστιν εὐφυΐα ψυχῆς, ἢ τοῦ νοῦ ὀξύτης, καθ' ἣν ὁ ἔχων

στοχα-

An prudentia uirtus & qualis uirtus.

Eth. ad Nicom. lib. 6. cap. 12.

Mag. mor. lib. 1. ca. 35.

Species prudentiæ.

Ethic. Nicom. lib. 6. cap. 8.

Partes prudentiæ.

Eth. Nicom. lib. 6. cap. 9.

στοχαστικός ἐστιν ἑκάστου τοῦ δέοντος. Συνακολουθεῖ καὶ αὐτῇ πανουργία ἡ ἐπαινετή, ὡς ὅπλον τι πεπραγμένος, δυσάλωτος καὶ φρόνιμος ταῖς ἐπιβουλαῖς τῶν ἐπεναντίων, οἷον τῶν μαιευτριῶν περιποιουμένων τὰ ἄρρενα τῶν ἑβραίων. οὐδὲ ἡ οὐκ ἐπαινετή, ἡ ῥᾳδιουργία ἐστι, κακουργία, ἢ καὶ σκευωρία, καὶ πρὸς πᾶν μίασμα προθυμία. καὶ ἔστι ἡ μὲν φρόνησις τῶν πρὸς τὸν ὀρθὸν σκοπὸν φερόντων ἐστιν εὑρετική τε καὶ ζητητικὴ ἀεί, ἡ δὲ δεινότης τῶν πρὸς τὸν τυχόντα. Σύνεσις κριτικὴ μόνον ἐστὶ τῶν βουλευθέντων. διαφέρει δὲ δεινότητι, ὅτι δεινὸς καὶ ὁ φαῦλος λέγεται, τοῦ δὲ συνετοῦ ἐστιν ἀεὶ τὸ βέλτιστον ἐφίεσθαι, καὶ τούτων προαιρετικὸν εἶναι, καὶ πρακτικὸν ἀεί. Γνώμη τοῦ ἐπιεικοῦς ἐστι κρίσις ὀρθή: καὶ ὁ συνετὸς τὸ κατόρθωμα καὶ τὸ ἀκριβὲς διαζητοῦσα κρίνει, ἡ δὲ γνώμη τὸ ἐπιεικὲς ὑπολαμβάνεται. τὸν γὰρ ἐπιεικῆ μάλιστά φαμὲν εἶναι συγγνωμονικόν, καὶ τὸ ἐπιεικὲς τὸ ἔχειν περὶ ἔνια συγγνώμην, ἡ δὲ συγγνώμη ὀρθή ἐστι τοῦ ἐπιεικοῦς γνώμη, ὀρθὴ δὲ ἡ τοῦ ἀληθοῦς. Παραίτια τῆς φρονήσεως ἐμπειρία, μνήμη, καὶ πρόνοια. ἐστι γὰρ πραγμάτων ὄψις ἡ φρόνησις. περὶ

Basilius & Cornificius in Rhetoricis ad Heren.

Alexander Aphrodisius.

Mag. mor. lib. 1. ca. 39.

Eth. ad Nicom: lib. 6. cap. 11.

Aristot. de uirtutibus.

Plutarch. in lib: An utilis sit futurorũ prænotio.

ἐν αὐτοῖς γίνεσθαι τὸν ἄνθρωπον, ὅπως ἄριστα χρήσεται τοῖς ἀπαντῶσι καὶ προστυγχάνουσι παρέχουσα διασκοπεῖν τὸ μέλλον: τὸ μὲν οὖν σῶμα πρόσω μόνον ὠμμάτωται, τοῖς ὄπισθεν τυφλόν ἐστιν ἀτεχνῶς, ἡ δὲ

Plutarc. de morali uirtute.

διάνοια καὶ τὰ παρῳχημένα βλέπειν τῇ μνήμῃ πέφυκεν. Διαφέρει δὲ σοφία ἡ φρόνησις, ὅτι σοφία ἐστὶ τῶν θείων καὶ δαι-

Arist. Eth. Nicom: lib. 6. cap. 7. Mag. mor. lib. 1. ca. 35.

μόνων, καὶ ἁπλῶς ἐχόντων, καὶ τὰ αὐτὰ ὡσαύτως ἐχόντων ἐπιστήμη, καὶ μετ' ἀποδείξεως. ἔστι γὰρ καὶ περὶ τὰς ἀρχὰς, καὶ ἐκ τῶν ἀρχῶν ἤδη δεικνύμενα, διὸ καὶ ἐκ νοῦ ἐστι τῶν ἀρχῶν καὶ ἐπιστήμης συγκειμένη. ἡ δὲ φρόνησις, τῶν ἀνθρωπίνων ἐστὶ τῶν ἐν μεταβολῇ, οἷον ἀγαθὸν, κακὸν, αἱρετὸν, φευκτὸν, διὸ φρόνησις τύχης δεῖται, σοφία δὲ οὐ δεῖται πρὸς τὸ οἰκεῖον τέλος οὐδὲ βου-

Gregorius Theologus.

λῆς. Καὶ καλῶς περὶ τῆς φρονήσεως Γρηγόριος ὁ θεολόγος εἶπεν, ὅστις τὸ τοῦ ὄφεως φρόνιμον περὶ τὸ κακὸν, τῷ τῆς περιστερᾶς ἀκεραίῳ περὶ τὸ καλὸν ἀναμίξας, οὔτε τὸ φρόνιμον ἐάσει κακοῦργον γενέσθαι, οὔτε τὸ ἁπλοῦν ἀνόητον.

Sedulitas & aßiduitas.

Συνακολουθεῖ τῇ φρονήσει ἐπιμέλεια, καὶ φιλοπονία, ἕξις ἐν τῷ ῥᾷον καὶ προθυμότερον ὑφίστασθαι τῶν πόνων ἐκείνους,

οὓς

οὓς ἂν ὑπὲρ ἀρετῆς καὶ καλοκαγαθίας μέλλομεν πονεῖν. Δεῖ γὰρ μὴ μόνον ἐκμανθάνειν ὅσα μαθήματα φέρει πρὸς ἀρετὴν, ἀλλὰ καὶ γυμνάζεσθαι κατὰ ταῦτα φιλοτίμως, καὶ φιλοπόνως, πρῶτον μὲν τὰς ἀποδείξεις προχείρους ποιεῖσθαι, τάς τε περὶ τῶν ἀγαθῶν τῶν δοκούντων ὡς οὐκ ἀγαθὰ, καὶ τὰς περὶ τῶν κακῶν τῶν δοκούντων ὡς οὐ κακὰ, καὶ τὰ ἀληθῶς ἀγαθὰ γνωρίζειν. ἔπειτα δὲ τὴν ἄσκησιν ἐπακολουθεῖν δεῖ πάντως εἴγε μέλλει καὶ αὐτῆς τῆς μαθήσεως ὄφελός τι γενέσθαι ἡμῖν. Ἔστι δὲ ἡ ἐπιμέλεια ἢ φιλοπονία μεσότης, ἔλλειψιν μὲν ἀμέλειαν ἔχουσα καὶ ἀργίαν, περὶ ἧς λέγει ὁ Εὐσέβιος: σῶμα ἀργίη τήκει, ψυχὴν δὲ ἀμελετησίη, ἄσκησις τὴν αὐτὴν ἀειρούσης πρὸς τὸ θεοειδέστατον: ὑπερβολὴν δὲ τὴν πολυπραγμοσύνην, πολυμάθειαν καὶ ἐπιμέλειαν οὐκ ἀναγκαίαν, πολλῶν πραγμάτων καὶ ἀλλοτρίων κακῶν, περὶ οἷς λέγεται:

Musonius in li. de exercitatione

Eusebius.

Plutar. & Gellius lib. 11. cap. 16.

τῆς πολυπραγμοσύνης οὐδὲν χερεώτερον
ἄλλο.

Δικαιοσύνη ἕξις οὖσα ἀφ' ἧς πρακτικοὶ τῶν δικαίων εἰσὶ καὶ ἀφ' ἧς διαπραγοῦσι καὶ βούλονται τὰ δίκαια, νόμιμα καὶ ἴσα, μεσότης ἐστὶ οὐ κατὰ τὸν αὐτὸν τρόπον ταῖς ἀρεταῖς ἑτέραις, ἡ γὰρ

Iustitia. Eth. ad Nicom. lib. 5. cap. 1.

ἀδικία μόνη καὶ πλεονεξία τῶν ἄκρων ἐστὶν, ἔλλειψις δηλαδὴ ἢ ὑπερβολὴ τοῦ ὠφελίμου ἢ βλαβεροῦ παρὰ ἀνάλογον, καὶ τὸ μὲν ἔλαττον ἀδικεῖσθαί ἐστι, τὸ δὲ μεῖζον ἀδικεῖν. ἄλλως γὰρ τῆς δικαιοσύνης ἄκρα καθόλου οὐκ ὀνομαίνεται κυρίως.

Eth. ad Nicom. lib. 5. cap. 5.

Eth. ad Nicom. lib. 5. cap. 1.

Πλεοναχῶς δὲ λέγεσθαι ἔοικε ἡ δικαιοσύνη, ἔστι γάρ τις παρὰ ὅλην τὴν ἀρετὴν, ζητοῦμεν δὲ καὶ τὴν ἐν μέρει ἀρετῆς δικαιοσύνην. καί ἐστιν ἡ καθ' ὅλην τὴν ἀρετὴν δικαιοσύνη ἀρετὴ τελεία τῶν πάντων πρακτικὴ, ἃ ὁ νόμος κελεύει, τῶν ἀρετῶν κρατίστη, οὔτε ἕσπερου οὔθ' ἑῴου οὕτω θαυμαστὸς ὄντος, (περὶ ἧς λεχθὲν: ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στι) μεσότης τίς ἐστι τοῦ ἀδίκου καὶ ἀνίσου καὶ ἀνόμου καὶ πλεονεκτοῦ, καὶ ὅλως τὰ τῆς αὐτῆς ἄκρα, πασῶν ἀρετῶν ἄκρα ἐστι, μάλιστα δὲ ἐν ἐλλείψει ἁμαρτάνει κατεσπουδασμένως γινομένη ἄνεσις, ὀλιγώρησις τῶν νόμων, ἀπείθεια, ἀνομία καὶ ἀκαταστασία ἀντὶ τῶν νόμων τε καὶ τῶν νομοθετῶν: ἐν ὑπερβολῇ δεισιδαιμονίως τηρεῖν τὸν νόμον, μάλιστα δὲ ἀντιούσης τῆς περὶ τὸ θεῖον εὐλαβείας καὶ θρησκείας.

Iusticia uniuersalis.

Eth. ad Eudæ. lib. 4. cap. 1.

Ad Nico. lib. 5. ca. 1.

Theognides.

Iustitia particularis.

Ἔστι δὲ ἄλλη τις δικαιοσύνη ὡς μέρος τῆς ὅλης, ἕξις προαιρετικὴ τοῦ καθ' ἀξίαν

ἑκάστῳ

ἑκάστῳ διανεμητική. ταύτης τῆς δικαιοσύνης
ἓν μὲν ἐστὶν εἶδος ἐν τοῖς συναλλάγμασι Iustitia cō-
διορθωτικὸν, οἷόν ἐστι πρᾶσις, ὠνὴ, δανεισ- mutatiua.
μὸς, ἐγγύη, χρῆσις, παρακαταθήκη, μί- Eth: ad Ni-
σθωσις, ἃ ἑκούσιά ἐστιν. ἢ καὶ ἐν ταῖς τιμω- com: lib. 5.
ρίαις οἷον κλοπῆς, μοιχείας, φαρμακίας, cap. 2.
προαγωγίας, ψευδομαρτυρίας καὶ τῶν
τοιούτων. ἐν ταύτῃ δικαιοσύνῃ τῇ συναλ-
λακτικῇ μεσότης σώζεται καὶ ἀναλογία
ἀριθμητικὴ καὶ ἀκροτάτη ἰσότης: ἁμαρτά-
νεται δὲ τῇ πλεονεξίᾳ πλεῖον ἔχειν τοῦ κέρ-
δους βουλομένη, καὶ ἀνισότητι, ἢ τοῦ ἐλάτ-
τονος ἐν τῇ συναλλαγῇ τυγχάνει. Ἁμαρ-
τάνεται δὲ καὶ προσωποληψία ἐν τῇ τιμω-
ρίᾳ, καὶ πάντως τὸ ἀδικεῖν καὶ ἀδικεῖσθαι.

Ἕτερον δὲ εἶδος ἐν ταῖς διανομαῖς ἢ τι- Iustitia di-
μῆς ἢ τῶν ἄλλων ὅσα μεριστὰ τοῖς κοινω- stributiua.
νοῦσι τῆς πολιτείας. αὕτη διανεμητική ἐστι Eth. ad Ni-
δικαιοσύνη, μεσότητα τηροῦσα οὐκ ἀριθμη- com. lib. 5.
τικὴν εἰς τὸ πάντας ἴσον ἔχειν, ἀλλὰ γεω- cap. 2. et 3.
μετρικὴν, καθ' ἣν τοῖς τιμιωτέροις τὰ τι-
μιώτερα διανέμεται: ἐν αὐτῇ ἁμαρτάνεται
ἡ προσωποληψία, τοῖς ἀνίσοις ἴσα ἢ καὶ
ἀνάπαλιν τοῖς ἴσοις ἄνισα διανέμουσα. ἐν-
τεῦθεν δὲ αἱ μάχαι, καὶ τὰ ἐγκλήματα ὅταν
ἢ ἴσοι μὴ ἴσα, ἢ μὴ ἴσοι ἴσα ἔχωσι καὶ νέ-

μῶνται ἁμαρτάνεται δὲ καὶ ἡ τυραννὶς, πᾶσαν τὴν ἰσότητα ἀφαιροῦσα, ὡς ὁ λέων ἐν τῷ τοῦ Αἰσώπου ἀπολόγῳ τὴν λείαν διανέμων. Καθάπερ δὲ ἡ δικαιοσύνη, οὕτω καὶ ὑπ' αὐτῆς συλληφθέντα εἴδη καὶ συγγενεῖς ἀρεταὶ αὐτῇ, μεσότητές εἰσι.

Religio.
Ex definitionibus Plato: in inscriptis.
Matth. 15.

Ἡ γὰρ εὐσέβεια ἢ θρησκεία, δικαιοσύνη οὖσα περὶ θεὸν, ἢ ἕξις θεραπευτικὴ τοῦ θεοῦ: ὑπερβολὴν μὲν δεισιδαιμονίαν ἔχει καὶ ἐθελοθρησκείαν, περὶ ἧς ὁ χριστὸς λέγει: μάτην σέβονταί με διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων: Ἔλλειψιν δὲ τὴν βεβηλότητα, καὶ θεοστυγίαν, καὶ βλασφημίαν, οἵη ἐστὶ τοῦ Πολυφήμου:

Euripedes in Cyclope.

Ζηνὸς δ' ἐγὼ κεραυνὸν οὐ φρίσσω ξένε, οὐδ' οἶδ' ὅτι Ζεὺς ἐστ' ἐμοῦ κρείσσων θεός. Καὶ ἔπειτα, μεγίστην τὴν γαστέρα τῶν δαιμόνων καὶ ζῶα ἀνθρώποις τοῖς σώφροσι διισχυρίζεται.

Pietas.
Plato lib. 4. de legibus.

Εὐστεργία, γονέων τιμὴ ζώντων ὡς θέμις, καὶ τῆς πατρίδος, ἔτι καὶ τῶν συγγενῶν, καὶ ἐν τοῖς γονεῦσι καὶ συγγενέσι ἀνάπαλιν: ὑπερβολὴν μὲν ἔχει ἔρωτα τὸν ἄτακτον, πολυστεργίαν ματαίαν, καὶ ἔνδοσιν: ἔλλειψιν δὲ ἀστεργίαν, πασῶν κακιῶν ῥίζαν.

Χάρις,

Χάρις, εὐεργεσία ἑκούσιος ἀπόδοσιν ἀ-
γαθοῦ καὶ ὑπουργίαν ἐν καιρῷ ἀποδιδοῦσα, Gratitudo.
ἔλλειψιν μὲν ἀχαριστίαν ἔχει, ἐν δὲ τῇ ὑπερ- Piato in
βολῇ οὐ ῥαδίως τις ἁμαρτάνεται (χάριν lib.defini=
χαρίζου, λέγει ὁ Μένανδρος, καθ' ὅσον ἰσχύεις tio.
ὅμως) διὸ καί ἐστιν ἀνώνυμος. εἶναι δὲ με-
σότητα καὶ εὐχαριστίαν, τῇ διανοίᾳ ὑπολαμ-
βάνομεν, ἀναλογία γάρ ἐστι, καὶ ἀρχὴ καὶ
τελευτή, ἔστι οὖν καὶ τὸ μέσον, διὸ καὶ ὁ Μέναν-
δρος:

Χάριτας δικαίας καὶ δίδου καὶ λάμβανε.

Ἐλευθεριότης ἀρετὴ τῆς ψυχῆς εὐ- Liberalitas
δάπανος εἰς τὰ καλά, ἧς ἐστι τὸ προαιρε- Ar sto.lib.
τικὸν εἶναι χρημάτων εἰς τὰ ἐπαινετά, καὶ τὸ de uirtuti=
ἐπιδαψιλεῖν ἐπὶ τῷ εἰς δέοντα ἀναλωθῆ- bus.
ναι, καὶ τὸ βοητικὸν εἶναι ἐν τῷ διαφόρῳ, Eth:ad Ni=
καὶ τὸ φιλάνθρωπον: ὑπερβολὴν μὲν com: lib.4.
ἔχει ἀσωτίαν τινὶ τῷ διδόναι, καὶ δα- cap.1.
πανᾶν παρὰ καιρὸν ὑπερβάλλουσαν, ἣ
ψέγεται, ὡς ὁ Σωκράτης ἰδών τινα προ- Socrates.
χείρως πᾶσι χαριζόμενον, καὶ ἀνεξιτάστως
ὑπηρετούμενον: κακῶς εἶπεν ἀπόλοιο, ὅτι
τὰς Χάριτας παρθένους οὔσας, πόρνας ἐ-
ποίησας: Ἔλλειψιν δὲ ἀνελευθερίαν, κα-
κίαν ψυχῆς καθ' ἣν ὀρέγονται πανταχόθεν κέρδους.

φειδὼ ἀρετὴ τῶν ἰδίων χρημάτων φυλακτικὴ, εἰς ὠφέλιμον χρῆσιν, οὐ περιττῶς δαπανοῦσα, ἀλλ᾽ ὅσον προσήκει ἀναλώσαισα, περὶ ἧς καλῶς ὁ Μένανδρος:

Parsimonia

Menander.

Ἂν μὲν πλέωμεν ἡμερῶν που τεττάρων,
Σκεπτόμεθα τὰ ἀναγκαῖ᾽ ἑκάστης ἡμέρας,
Ἂν ἡ δὲ φείσασθαί τι τοῦ γήρως χάριν,
Οὐ φεισόμεθ᾽ ἐφόδια περιποιούμενοι;

Καὶ ὑπερβολὴν μὲν ἔχει ἀσωτίαν ὡς καὶ ἐλευθεριότης, καὶ καλῶς ὁ Κράτης τὰ τῶν πλουσίων καὶ ἀσώτων χρήματα ταῖς ἐπὶ τῶν κρημνῶν συκαῖς εἴκαζεν, ἀφ᾽ ὧν ἄνθρωποι μηδὲν λαμβάνουσι, κόρακας δὲ καὶ ἰκτίνους, ὥσπερ παρὰ τούτων, ἑταίρας καὶ κόλακας: Ἔλλειψιν δὲ, πρώτην μὲν αἰσχροκέρδειαν καθ᾽ ἣν κερδαίνουσι ζητοῦσι πανταχόθεν, καὶ τὸ κέρδος τῆς αἰσχύνης περὶ πλείονος ποιοῦνται: ἔπειτα φειδωλίαν, καθ᾽ ἣν ἀδάπανοι γίνονται χρημάτων εἰς τὸ δέον: ἔτι καὶ κιμβείαν ἢ κιμβικίαν, καθ᾽ ἣν δαπανῶσι, κατὰ μικρὸν δὲ καὶ κακῶς, καὶ πλείω βλάπτοντα τῷ μὴ κατὰ καιρὸν ποιεῖσθαι τὸ διάφορον. περὶ ταύτης ὁ Θεόκριτος:

Species auaritiæ seu illiberalitatis. Aristot. de uirtutibus. Eth: ad Nicom: lib.4. cap.1. Theocritus Idyl.10.

Κάλλιον ὦ 'πιμελητὰ φυλάργυρε τὼς φακὸς ἕψειν.

Μὴ

Μὴ 'πιτόμης τὰν χεῖρα καταπρίων· τὸ κύμινον.

Magnificentia Magno: mora. lib.1.ca.27. Ad Eudæ: lib.3. ca.6.

Μεγαλοπρέπεια ἀρετὴ περὶ δαπάνας, ἃς τῷ πρέποντι γίγνεσθαι προσήκει, οὐ περὶ τὴν τυχοῦσαν πρᾶξιν καὶ προαίρεσιν, εἰ μὴ κατὰ μεταφορὰν λεγόμενον. τὸ μὲν γὰρ πρέπον ἐν κόσμῳ ἐστὶν, ὁ δὲ κόσμος οὐκ ἐκ τῶν τυχόντων ἀναλωμάτων, ἀλλ' ἐν ὑπερβολῇ τῶν ἀναγκαίων, ὡς περὶ γάμους ἢ περὶ ἐσθῆτα, ἢ περὶ οἴκησιν τῶν περιττῶν καὶ καλῶν, καὶ διαγωγὴν ἐχόντων ἡδεῖαν, ἄνευ τοῦ λυσιτελοῦντος, ἢ περὶ τρέψιν τῶν ζώων τῶν ἡδιόν τι ἐχόντων. καὶ ὁ μὲν ἐν μεγάλῃ δαπάνῃ τοῦ πρέποντος μεγέθους προαιρετικὸς μεγαλοπρεπής ἐστι, μεγάλων εὐεργετημάτων ποιητικός. Ἔχει δὲ ἡ μεγαλοπρέπεια ἐν ὑπερβολῇ μὲν τὴν βαναυσίαν καὶ ἀπειροκαλίαν, τουτ' ἔστιν ἀμετρίαν τοῦ καλοῦ, καὶ φιλοδοξίαν ἢ σαλοκωνίαν ἐν τοῖς προσποιουμένοις πλούσιοι εἶναι πένητες οὖσιν· ἐν ἐλλείψει δὲ μικροπρέπειαν ἢ οὗ δεῖ μὴ μεγαλείως δαπανῆσαι καὶ ἀξίως ἀλλ' ἐνδεῶς.

Suidas.

Beneficentia. Cicero offic. lib.1.

Συνακολουθεῖ τῇ ἐλευθεριότητι εὐεργεσία ἢ χρηστότης καὶ φιλοξενία. καθάπερ γὰρ ἐλευθεριότης τῶν χρημάτων ἐστὶ καὶ τῆς οὐσίας, οὕτω εὐεργεσία τοῦ ἔργου ἢ ἐργασίας,

ἡ δὲ

ἡ δὲ φιλοξενία τοῦ οἴκου καὶ τῶν πρὸς αὐτὸν, καὶ ἔχει ἡ εὐεργεσία ἔλλειψιν μὲν τὴν εὐεργεσίας ἄνεσιν, ὑπερβολὴν δὲ κακουργίαν, μέσον γάρ ἐστι τῆς κακῆς καὶ μηδεμιᾶς ἐργασίας. καὶ κα-

Menander. λῶς λέγεται, χρηστὸς ἀνήρ ἐστι κοινὸν ἀγαθόν. καὶ πάλιν, ὁ χρηστός ἐστι πολλαχοῦ σωτήριος.

Hospitalitas. Eth: ad Nicom: lib. 9. cap. 10.

Φιλοξενία, ἔλλειψιν ἔχει ἀξενίαν, ὑπερβολὴν κακοξενίαν, πολυξενίαν, καὶ φιλοξενίας ἀλαζονίαν. μήτ' ἄξενος ἔστω λέγει Ἀριστοτέλης, μήτε πολύξενος, ἀλλὰ φιλόξενος.

Beneuolentia. Eth: ad Nicom: lib. 9. cap 4. 5. Plato in lib: definit.

Εὔνοια, φιλανθρωπία, ἡ εὐμένεια, ἕξις ποιοῦσα ἄνθρωπον πρὸς ἅπαντας φιλικῶς διακεῖσθαι, οὐχ ὡς φιλία, γίνεται γὰρ καὶ πρὸς ἀγνοοῦντας καὶ λανθάνουσα, καὶ ἄνευ συνηθείας, ἔλλειψιν μὲν ἔχει τὴν φαυλότητα, οὐδὲ πρὸς ἑαυτὸν φιλικῶς διακεῖσθαι ποιοῦσαν, μισανθρωπίαν, κακόνοιαν, μῖσος, καὶ φθόνον διὰ τὸ εὖ ἔχειν ἄλλον λειπούμενον: ὑπερβολὴν δὲ εὔνοιαν ἄκαιρον περὶ ἧς λεχθὲν:

Senarius. Ἄκαιρος εὔνοι' οὐδὲν ἔχθρας διαφέρει.

Amicitia. Mag: mor. lib. 2 ca. 11. Hypodamus Pythago:

Φιλία ἐξ ὁμοιότητος τῆς φύσεως καὶ εὐνοίας, ὡς μία ψυχὴ ἐν δυοῖν σωμάτοιν: ἢ ὡς ὑπόδαμος ὁ Πυθαγόρειος: ἢ ἐξ ἐπιστήμης τοῦ θεοῦ, ἢ ἐκ παροχῆς τῶν ἀνθρώπων,

πων, ἢ ἐξ ἡδονῆς ζώων εὔνοια: ἔλλειψιν ἔχει ἀφιλίαν, μισανθρωπίαν καὶ ἔχθραν, ὑπερβολὴν κολακείαν. ἔστι δὲ περὶ πράξεις καὶ λόγους, καὶ ὁ κόλαξ ἐστὶν ὁ πλείω τῶν προσηκόντων καὶ ὄντων προστιθεὶς, ὁ δὲ ἀπεχθητικὸς, ἐχθρὸς, ἢ τῶν ὑπαρχόντων ἀφαιρῶν, ὁ δὲ φίλος ἀνὰ μέσον τούτων. καὶ σοφῶς Ἀριστοτέλης λέγει: οὐκ ἄφιλος ἔσθω, οὐδὲ πολύφιλος, ἀλλὰ φιλόφιλος.

Mag: mor. lib. 1. ca. 32. Eth: ad Nicom: lib. 8. ca. 7. 10. 12. Eth: ad Nicom: lib. 9. cap. 10.

Συγγενὴς τῇ φιλίᾳ ἐστὶ καὶ ὁμόνοια, ἀρχόντων ὁμοδοξία, καὶ ἀρχομένων ὡς δεῖ ἄρχεσθαι, καὶ ἀνθρώπων ἰδίων, μάλιστα δὲ περὶ τὰ πράγματα καὶ ὅσα συζῆν συντείνει. ἔχει δὲ ἔλλειψιν τὴν φιλονεικίαν, καὶ ἔριδα, ὑπερβολὴ δέ ἐστιν ἀνώνυμος, εἰ μὴ κολακεία λεχθήσεται, περὶ ἧς Διογένης: ἐπὶ τῆς κολακείας ὥσπερ ἐπὶ μνήματος, αὐτὸ μόνον τὸ ὄνομα τῆς φιλίας ἐπιγέγραπται.

Concordia. Plato lib: definit: Aristot. ad Eudæ: lib. 8. cap. 7. Eth. ad Nicom. lib. 9. cap. 6.

Θεραπεία ἢ εὐλάβεια, τῶν ἡρώων σέβασμα καὶ τιμὴ, ὡς θεοῦ ἡ θυσία καὶ λατρεία, ἔλλειψιν ἔχει ὑπεροψίαν: ὑπερβολὴν δὲ αὐλικὴν, ὑποκριτικὴν ἢ φαρισαϊκὴν θεραπείαν. Καὶ περὶ θεραπείας καλῶς Πυθαγόρας:

Ἀθανάτους μὲν πρῶτα θεοὺς νόμῳ ὡς διάκειται
τίμα, καὶ σέβου ὅρκον, ἔπειθ' ἥρωας ἀγαυούς.

Obseruantia. Ptyhagoras in carmine aureo.

Ἀλήθεια

Veritas. Plato lib. definit. Arist: Eth. ad Nicom: lib.4. ca.7. Mag. mor. lib.1.ca.33. Ad Eudæ. lib.3. ca.4.

Ἀλήθεια ἕξις ἐν καταφάσει καὶ ἀποφάσει αὐθέκαστα, καὶ τὰ ὑπάρχοντα ἐν λόγοις, πράξεσι, καὶ προσποιήματι λέγουσα καὶ ὁμολογοῦσα, οὔτε μείζω, οὔτε ἐλάττω: ἔλλειψιν ἔχει ψευδολογίαν καὶ εἰρωνίαν, ὑπερβολὴν, ἀλαζονίαν καὶ σοφιστικὴν, δοκεῖ ἄρα ὁ ἀλάζων προσποιητικὸς τῶν ἐνδόξων εἶναι καὶ μὴ ὑπαρχόντων καὶ μειζόνων ἢ ὑπάρχει: ὁ δὲ εἴρων ἀνάπαλιν, ἀρνεῖσθαι τὰ ὑπάρχοντα ἢ ποιεῖν ἐλάττω. καὶ οἱ τὰ μικρὰ καὶ φανερὰ προσποιούμενοι βαυκοπανοῦργοι λέγονται, καὶ εὐκαταφρόνητοί εἰσι. οἱ δὲ μετρίως χρώμενοι τῇ εἰρωνίᾳ, καὶ περὶ τὰ μὴ λίαν ἐμποδὼν, καὶ φανερὰ εἰρωνευόμενοι, χαρίεντες φαίνονται. περὶ ἀληθείας δὲ καλῶς

Philemon Syracusanus.

Φιλήμων:

Οὐκ ἔστιν οὔτε ζωγράφος μὰ τοὺς θεοὺς
Οὔτε ἀνδριαντοποιὸς, ὅστις ἂν πλάσαι
Κάλλος τοιοῦτο, οἷον ἡ ἀλήθει᾽ ἔχει.

Vrbanitas & dexteritas. Eth.ad Nicom. lib.4. cap.8. Mag. mor. lib.1.ca.31.

Εὐτραπελία καὶ ἐπιδεξιότης τὰ αὐτὰ ἔχουσιν ἄκρα. ἔστι δὲ εὐτραπελία τοῦ ἤθους κίνησίς τις ἐν τοῖς ἐμμελῶς παίζουσιν. ἐπιδεξιότης ἀρετὴ ἐν τῷ τοιαῦτα λέγειν καὶ ἀκούειν, οἷα τῷ ἐπιεικεῖ καὶ ἐλευθέρῳ ἁρμόττει καὶ πεπαιδευμένῳ, καὶ ταῦτα πρὸς εὐσχημοσύνην οὐ μικρὸν διαφέρει. ὑπερ-

βολὴ

βολὴ μὲν βωμολοχία ἐστι, πάντως τοῦ γελοίου γλιχομένη, καὶ μᾶλλον στοχαζομένη τοῦ γέλωτα ποιῆσαι, ἢ τοῦ λέγειν εὐσχήμονα, καὶ μὴ λυπεῖν τὸν σκωπτόμενον: ἔλλειψις δὲ ἀγροικία καθ' ἣν αὐτοὶ μηδὲν γελοῖον λαλοῦμεν, τοῖς δὲ λέγουσί τι γελοῖον δυσχεραίνομεν. ψέγει δὲ ὁ Παῦλος τὴν εὐτραπελίαν, διὰ τὸ τῆς βωμολοχίας καὶ γελοίου μὴ πρέποντος αὐτὴν μετέχειν. τῷ γελοίῳ γὰρ καθάπερ ἁλὶ πεφεισμένως δεῖ χρῆσθαι. ἐπιδεξιότης δὲ μήποτε ψέγεται.

Ephe. 5.

Σιωπὴ ἀρετὴ καθ' ἣν εὐκαίρως λαλεῖν καὶ εὐκαίρως σιωπᾶν δυνάμεθα, διὸ καὶ τῆς γλώσσης ἐγκράτεια λέγεται: οὐ μικρὸν ἀρετῆς μέρος λέγει ὁ Πλούταρχος ὑπήκοον ἀεὶ τῷ λογισμῷ καὶ πειθήνιον ἔχειν τὸν λόγον, καὶ οὐ γίνεται ἀρετὴ αὕτη, ἂν μή τις ἀσκήσει, καὶ μελέτῃ, καὶ φιλοπονίᾳ τὰ κάκιστα τῶν παθῶν, οἷόν ἐστι ἡ ὀργὴ κατεργάσηται, δυσκρατέστατον γὰρ πάντων ὁ λόγος. Ἔχει δὲ ἄκρα ὑπερβολὴν, σιωπὴν ἄκαιρον, ἐστι γὰρ τοῦ αὐτοῦ εἰδέναι τε ἃ λεκτέον καὶ πότε, καί τινα σιωπητέον, καὶ πρός τινα, καὶ τὰ τέλεον ἑαυτοῦ χαρακτῆρα καὶ τύπον ὃν φυλάξειεν, ἐπί τε ἑαυτοῦ ὢν, καὶ ἑτέροισιν ἐντυγχάνων: Ἔλλειψιν δὲ ἀδολεσχίαν καὶ λαλιὰν ἢ φιλο-

Taciturnitas & tempestiua oratio.

Plutarchus in lib. quomodo quis fructum ab inimicis capiat.

λογίαν καὶ ἀκρασίαν λόγου, καὶ καλῶς Ζή-
Zeno. νων πρὸς τὸν πλείω λαλεῖν θέλοντα ἢ ἀκού-
ειν, νεανίσκε εἶπεν, ἡ φύσις ἡμῖν γλῶτταν
μὲν μίαν, δύο δὲ ὦτα παρέσχεν, ἵνα δι-
πλάσιον ὧν λέγομεν ἀκούωμεν.

Comitas. Φιλοφροσύνη, τῶν ἠθῶν κοσμουμένη τις
Eth: ad Ni- ἡδύτης, ἐν μὲν ἐνδείᾳ χαλεπότητα ἔχει ἢ
com: lib. 4. ἀγριότητα, ἐν δὲ ὑπερβολῇ ἀποτομίαν, ἢ
cap. 6. κατόρθωμα τῶν στοϊκῶν. Καὶ καλῶς ὁ
Posidip- Ποσείδιππος: διὰ τέχνην μὲν γνωρίμους
pus. ἐκτησάμην πολλοὺς, διὰ τὸν τρόπον δὲ τοὺς
πλείστους φίλους.

Fides. Πίστις, οὐ τὸ γνώριμον καὶ ἀσφαλὲς ὃ ἡμεῖς
Hebr. 11. πεπείσμεθα, ἡ ὑπόστασις τῶν ἐλπιζομένων,
πραγμάτων ἔλεγχος οὐ βλεπομένων, ἀλ-
λὰ τῶν λεχθέντων καὶ πραχθέντων βεβαιω-
τική τις ἕξις, μεταξύ ἐστι τῆς ἀστασίας καὶ
Cicero of- ματαιότητος, καὶ βάσις τῆς δικαιοσύνης, καὶ
fic. 1. ἁγιώτατον τοῦ τῶν ἀνθρώπων στήθους ἀγα-
Seneca. θὸν ἡ πίστις. Ἔστι καὶ ὅρκου πίστις μεγίστη
Iusiurandi περὶ ἧς ὁ Σοφοκλῆς: ὅρκου δὲ προστεθέν-
religio. τος ἐπιμελεστέρα ψυχὴ κατέστη, δισσὰ
Sophocles γὰρ φυλάσσεται, φίλων τε μέμψιν, καὶ
in Hippod: θεοὺς ἁμαρτάνειν: Διὸ καὶ τὸ ἄκρον τὴν ἐπι-
ορκίαν ἔχει.

Herodotus Καὶ περὶ ὅρκου καλή ἐστιν ἡ τοῦ Ἡροδότου
lib. 6. ἱστορία.

ἱστορία. Γλαῦκος παρ' ὃν ἀνὴρ μιλήσιος τὰ ἡμίσεα τῆς οὐσίας ἐξαργυρώσας τῆς δικαιοσύνης ἕνεκα τοῦ γλαύκου ἔθηκεν, ἐπορεύετο εἰς δελφοὺς, χρησόμενος τῷ χρηστηρίῳ: ἐπειρωτῶντα δὲ αὐτὸν, εἰ ὅρκῳ τὰ χρήματα ληΐσεται, ἡ πυθίη μετέρχεται τοῖς δὲ τοῖς ἔπεσι:

Γλαῦκ' ἐπικυδείδη, τὸ μὲν αὐτίκα κέρδιον
οὕτω
Ὅρκῳ νικῆσαι, καὶ χρήματα ληΐσσασθαι.
Ὄμνυ', ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει
ἄνδρα.
Ἀλλ' ὅρκου παῖς ἐστιν ἀνώνυμος, οὐδ' ἔπι
χεῖρες,
Οὐδὲ πόδες, κραιπνῶς δὲ μετέρχεται, εἰσόκε
πᾶσαν
Συμμάρψας ὀλέσῃ γενεὴν, καὶ οἶκον
ἅπαντα.
Ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.

Ταῦτα ἀκούσας ὁ γλαῦκος, συγγνώμην τὸν θεὸν παραιτέετο αὐτῷ ἴσχειν τῶν ῥηθέντων. ἡ δὲ πυθίη ἔφη: τὸ πειρηθῆναι τοῦ θεοῦ, καὶ τὸ ποιῆσαι ἴσον δύναται. γλαῦκος μὲν δὴ μεταπεμψάμενος τοὺς μιλησίους ξένους, ἀποδιδῶσί σφιν τὰ χρήματα.

Æquitas.
Eth: ad Nicom: lib. 5. cap. 10.
Mag: mor. lib. 2. cap. 1.

Ἐπιείκεια, τῶν δικαίων τῶν κατὰ νόμον ἐλάττωσις· οὐ δικαίων δὲ ἁπλῶς ἐλάττωσις, τῶν γὰρ φύσει καὶ ὡς ἀληθῶς ὄντων δικαίων οὐκ ἐλαττοῦται, ἀλλὰ τῶν κατὰ νόμον, ἃ ὁ νομοθέτης ἐξαδυνατῶν ἀπέλιπεν. Ἔλλειψιν μὲν ἔχει ἄνεσιν τοῦ νόμου ἄνευ ἀνάγκης, ἡ ἐν τοῖς φύσει καὶ ἀληθῶς δικαίοις ἐπιείκεια, ὑπερβολὴν δὲ τὸ ἀκριβοδίκαιον. Ἔστι δὲ τὸ ἐπιεικὲς, δίκαιον μὲν, οὐ τὸ κατὰ τὸν νόμον δὲ, ἀλλ' ἐπανόρθωμα νομίμου δικαίου, αἴτιον δὲ, ὅτι ὁ μὲν νόμος καθόλου πᾶς καὶ τὸ ὡς ἐπὶ τὸ πλέον λαμβάνει, ὕλη δὲ πραγμάτων ποικίλη, ἔστιν οὖν αὕτη φύσις τοῦ ἐπιεικοῦς ἐπανόρθωμα νόμου ᾗ ἐλλείπει διὰ τὸ καθόλου, τοῦτο γὰρ αἴτιον τοῦ μὴ πάντα κατὰ νόμον εἶναι, ὅτι περὶ ἐνίων ἀδύνατον θέσθαι. τοῦ γὰρ ἀορίστου ἀόριστος καὶ ὁ κανών ἐστι, ὥσπερ καὶ τῆς Λεσβίας οἰκοδομῆς ὁ μολύβδινος κανὼν, πρὸς γὰρ τὸ σχῆμα τοῦ λίθου μετακινεῖται, καὶ οὐ μένει ὁ κανών.

Candor siue æquanimitas.
Mag. mor. lib. 2. ca. 2.

Εὐγνωμοσύνη περὶ ταῦτά ἐστι, περὶ ἃ ἡ ἐπιείκεια περὶ τὰ δίκαια καὶ τὰ ἐλλελειμμένα ὑπὸ τοῦ νομοθέτου, τὸ μὴ ἀκριβῶς διωρίσθαι, κριτικὸς ὢν τῶν ἐλλελειμμένων. ἀλλὰ διαφέρει ἐπιεικοῦς ὁ εὐγνώμων, τὸ μὲν γὰρ κρῖναι τοῦ εὐγνώμονος, τὸ δὲ δὴ

πράττειν

πράττειν καὶ κατὰ τὴν κρίσιν τοῦ ἐπιεικοῦς, ὁ γὰρ τούτων προαιρετικὸς καὶ πρακτικὸς καὶ ὁ μὴ ἀκριβοδίκαιος ἐπὶ τὸ χεῖρον, ἀλλ᾽ ἐλαττωτικὸς καίπερ ἔχων τὸν νόμον βοηθὸν, ἐπιεικής ἐστι, καὶ ἡ ἕξις αὕτη ἐπιείκεια, δικαιοσύνη τις οὖσα, καὶ οὐχ ἑτέρα τις ἕξις. ἔστιν οὖν τὰ αὐτὰ τῆς εὐγνωμοσύνης ἄκρα. *Discrimen Æquitatis & æquanimitatis.*

Νέμεσις, περὶ ἀγαθὰ ἃ τυγχάνει ὑπάρχοντα ἀναξίῳ ὄντι λύπη τις, καὶ πάλιν περὶ τὰ κακὰ ἃ τυγχάνει ὑπάρχοντα ἀναξίῳ ὄντι, μεσότης ἐστὶ μεταξὺ φθονερίας, καὶ ἐπιχαιρεκακίας. καὶ φθονερὸς ἄν τε ἄξιός τις εἴη, ἄν τε μὴ τοῦ εὖ πράττειν, λυπηθήσεται: ὁ δὲ ἐπιχαιρέκακος κακῶς πράττοντι. καὶ τῷ σπουδαίῳ, ἀγαθῷ, καὶ ἀναξίῳ, ἡσθήσεται. Nemesis. Mag. mor. lib. 1. ca. 10.

Ἐλεημοσύνη περὶ κακὰ ἃ τυγχάνει ὑπάρχοντα ἀναξίῳ ὄντι λύπη τις μετὰ βοηθείας καὶ τοῦ κακοῦ κωλύσεως ἢ ἐφ᾽ ἡμῖν, ἔνδειαν μὲν ἔχει ἀπάθειαν καὶ ἐπιχαιρεκακίαν, ὑπερβολὴ δέ ἐστιν ἀνώνυμος, καὶ περὶ ἐλέους καλῶς ὁ Φωκυλίδης: Misericordia. Phocylides

Πλαζόμενον δὲ βροτὸν καὶ ἀλίτροπον μήδ᾽
ὑπαλύξῃς,
Βέλτερον ἀντ᾽ ἐχθροῦ τυχέειν φίλου εὐ-
μενέοντος.

Innocentia. Cicero. Offic. 1.

Ἀκακία, τῆς ψυχῆς ἁγνεία πᾶσαν ἀδικίαν καὶ ὕβριν βδελυττομένη, ἠθῶν τε καὶ βίου κυβερνήτειρα καὶ αὐτή, ἔλλειψιν μὲν κακότητα ἔχει, καὶ φαυλότητα, ὑπερβολὴ δέ ἐστιν ἀνώνυμος. Ἕπεται τῇ κακότητι φαύλη συνείδησις ἣ οἷον ἕλκος ἐν σαρκὶ τῆς ψυχῆς τὴν μεταμέλειαν αἱμάσσουσαν ἀεί, καὶ νύσσουσαν ἐναπολείπει, καὶ τὸ ἔπος, οὔτις ἐμοὶ τῶν ἄλλων ἐπαίτιος, ἀλλ᾽ ἐγὼ αὐτός, ἐπιθρηνούμενον τοῖς ἁμαρτανομένοις, ἔνδοθεν ἐξ αὐτοῦ βαρύτερον ποιεῖ τῷ αἰσχρῷ τὸ ἀλγεινόν.

Mala conscientia. Plutarchus de animi tranquillitate.

Fortitudo. Aristot. de uirtutibus. Eth. ad Nicom: lib. 3. ca. 6.7.8.9. Ad Eudæ. lib. 3. cap. 1.

Ἀνδρεία, ἀρετὴ τοῦ θυμοειδοῦς καθ᾽ ἣν δυσέκπληκτοί εἰσιν ὑπὸ φόβων τῶν ἐπὶ θάνατον, εὐθαρσεῖς ἐν τοῖς δεινοῖς, εὔτολμοι πρὸς τοὺς κινδύνους, καὶ μᾶλλον αἱροῦνται τεθνάναι καλῶς ἢ αἰσχρῶς διασωθῆναι, πονοῦσι, καρτεροῦσι, καὶ δύνανται, μεταξύ ἐστι δειλίας καὶ θρασύτητος, ὧν ἡ μὲν ἔλλειψις ἡ δὲ ὑπερβολὴ τοῦ θυμοειδοῦς ἐστι. φοβούμεθα μὲν πάντα τὰ κακὰ οἷον ἀδοξίαν, πενίαν, νόσον, ἀφιλίαν, θάνατον, ἀλλ᾽ οὐ περὶ πάντα δοκεῖ ὁ ἀνδρεῖος εἶναι, ἔνια γὰρ καὶ δεῖ φοβεῖσθαι, καὶ καλόν, οἷον ἀδοξίαν, τὴν μὴ φοβούμενος ἀναίσχυντος λέγεται. ταύτης δὲ δειλίας ἐστὶ τὸ ὑπὸ τῶν τυχόντων φόβων εὐκίνητον, καὶ μάλιστα τῶν περὶ θάνατον, καὶ τὰς σωματικὰς

πηρώ-

πηρώσεις, καὶ τὸ ὑπολαμβάνειν κρεῖττον εἶναι ὁποσοῦν σωθῆναι ἢ τελευτῆσαι καλῶς. Τῶν ὑπερβαλλόντων ὁ μηδὲν φοβῶν μήτε σεισμὸν, μήτε τὰ κύματα ἢ θάνατόν ἐστιν ἀνώνυμος: εἴρηται δὲ ἡμῖν μαινόμενος ἢ ἀνάλγητος, ὁ δὲ ἐν τῷ θαῤῥεῖν ὑπερβάλλων περὶ τὰ φοβερὰ θρασὺς, καὶ οἱ θρασεῖς προπετεῖς, καὶ βουλόμενοι πρὸ τῶν κινδύνων, ἐν αὐτοῖς δὲ ἐνίοτε ἀφίστανται προσποιητικοὶ μόνον τῆς ἀνδρείας ὄντες, διὸ καὶ θρασύδειλοι λέγονται, ὁ δὲ ἀνδρεῖος ἀνέκπληκτος, ὡς ἄνθρωπος φοβεῖται ὧν δεῖ καὶ κατὰ λόγον ὑπομένει τοῦ καλοῦ ἕνεκα, ἐν τοῖς ἔργοις ὀξὺς πρότερον δὲ ἡσύχιος. Καὶ περὶ θρασύτητος ὁ Εὐριπίδης: Euripedes in Herculc.

Πότερα γενέσθαι δῆτα χρησιμώτερον
Συνετὸν ἄτολμον, ἢ θρασύτε καὶ εὐμαθῆ;
Τὸ μὲν γὰρ αὐτῶν σκαιὸν, ἀλλ' ἀμύνεται,
Τὸ δὲ ἡσύχιον ἔργον, ἐν δὲ ἀμφοῖν νόσος.

Θάρσος ἢ εὐθαρσία τὸ εὔλογον ἐν πράγμασι καλοῖς τοῖς μετὰ κινδύνων παράστημα τῆς ψυχῆς: ἔλλειψιν μὲν ἔχει δυσελπιστίαν καὶ δειλίαν, ὑπερβολὴν δὲ θάῤῥην ἢ θάῤῥος, τὸ τῆς ψυχῆς πάθος, ἀλόγιστον οὖν ἐστι μὲν οὖν καὶ τοῦτο. Διαφέρει δὲ θάρσος τῆς παῤῥησίας συγγενοῦς οὔσης καὶ αὐτῆς, ὅτι ἐν λόγῳ ἡ παῤῥησία ἄδειά τίς ἐστι περὶ ἧς λέγεται: οὔτ' ἐκ τοῦ

Fidentia. Plato in lib. definit.

Libertas dicendi.

κόσμου τὸν ἥλιον, οὔτε ἐκ τῆς παιδείας ἀφαιρετέον

Eusebius. τὴν παῤῥησίαν. καὶ πάλιν· Οὐδὲν ἂν εἴη ἐλευ-

Demosthenes. θέροις μεῖζον ἀτύχημα, τοῦ στέρεσθαι τῆς παῤῥη-
σίας· ἐν δὲ πράξεσι ἡ εὐθαρσία. Διαφέρει δὲ
τοῦ θράσους ἡ θρασύτητος, ὅτι τὸ θράσος,
ἄλογόν ἐστι παράσημα τῆς ψυχῆς, τὸ δὲ θάρ-
σος εὔλογον, περὶ οὗ ὁ Ἀπολλώνιος, ὑμετέρη
ἀρετῇ ἐνὶ θάρσος ἀέξω. καὶ περὶ τοῦ Παύλου

Act. 28. ἀποστόλου λέγεται, εὐχαριστήσας τῷ θεῷ ἔλα-
βε θάρσος. Τὸ θάρσος ἐπαινεῖ ὁ Εὐριπίδης·
Νεανίαν ἄνδρα χρὴ τολμᾶν ἀεὶ,

Euripedes. Οὐδεὶς γὰρ ῥᾴθυμος εὐκλεὴς ἀνήρ.

Menander. Καὶ ἄλλος· οὐκ ἔστι τόλμης ἐφόδιον μεῖζον
βίου.

Magnanimitas. Μεγαλοψυχία, ἀρετὴ ψυχῆς καθ' ἣν
οἱ ἄξιοι ὄντες μεγάλων ἀξιοῦσι αὐτοὶ ἑαυτοὺς

Eth. ad Nicom. lib. 4. cap. 3. τούτων, καὶ τοιοῦτοί εἰσιν οἷοι ἀξιοῦνται ἑαυτοὺς,
τοιαῦτα δὲ ποιοῦσιν, μάλιστα δὲ περὶ τιμῆς αἵ-
ρεσιν καὶ χρῆσιν, καὶ τῶν ἄλλων ἀγαθῶν τῶν ἐν-

Mag. mor. lib. 1. ca. 26. τίμων. Ἔστι γὰρ ἀρετῆς ἆθλον ἡ τιμὴ, καὶ

Ad Eudæ: lib. 3. cap. 5. ἀπονέμεται τοῖς ἀγαθοῖς, μέγιστον γὰρ δὴ τοῦτο
τῶν ἐκτὸς ἀγαθῶν. ὁ δὲ μεγαλόψυχος
εἴπερ τῶν μεγίστων ἄξιος, ἄριστος ἂν εἴη καὶ
ἐν ἑκάστῃ ἀρετῇ μέγας, ἐν μεγέθει γάρ τινι
ψυχῆς καὶ δυνάμεώς ἐστιν ὁ μεγαλόψυχος
δικαίως καταφρονῶν τῶν κινδύνων οὐ πικνο-
κινδυνος,

κίνδυνος, οὐδὲ φιλοκίνδυνος, διὰ τὸ ὀλίγα τιμᾶν, μεγαλοκίνδυνος δὲ, καὶ ὅταν κινδυνεύῃ ἀφειδὴς τοῦ βίου, διὸ καὶ σπάνιοι τοιοῦτοι, μιμούμενοι δὲ πολλοί, ἀλλ᾽ ἄνευ καλοκαγαθείας. Μάλιστα μὲν οὖν ἐστιν (ὥσπερ εἴρηται) ὁ μεγαλόψυχος περὶ τιμάς, οὐ μὴν, ἀλλὰ καὶ περὶ πλοῦτον, καὶ δυναστείαν, καὶ πᾶσαν εὐτυχίαν καὶ ἀτυχίαν μετρίως ἕξει, ἂν γίνηται, καὶ οὔτ᾽ εὐτυχῶν περιχαρὴς ἔσται, οὔτε ἀτυχῶν περίλυπος. διὸ καὶ ὁρίζεται ἡ μεγαλοψυχία ἀρετὴ καθ᾽ ἣν δύναται φέρειν εὐτυχίαν, καὶ ἀτυχίαν καὶ τιμὴν καὶ ἀτιμίαν. Ἔστι δὲ μεσότης ὑπερβολὴν μὲν χαυνότητα, ἔλλειψιν δὲ ἔχουσα μικροψυχίαν, οἱ γὰρ εὐκαταφρόνητοι ὄντες καὶ φαῦλοι, μεγάλων δὲ ἑαυτοὺς ἀξιοῦντες καὶ πρὸς τούτοις τιμᾶσθαι οἰόμενοι δεῖν, χαῦνοι: ὅσοι δὲ ἐλαττόνων αὐτοὺς ἀξιοῦσιν ἢ προσῆκον αὐτοῖς ἐν μεγάλοις μικρόψυχοι, ἢ οἱ οὐ δύνανται φέρειν εὐτυχίαν καὶ ἀτυχίαν καὶ τιμὴν καὶ ἀτιμίαν.

Aristot. in lib. de uirt.

Συνακολουθεῖ τῇ μεγαλοψυχίᾳ καὶ ἡ ἀξιοπρέπεια τῆς ἐστι τὸ ἀξιωματικόν, καὶ τὸ πληρωματικόν, οὗ πολλὴ δύναμίς ἐστι.

Dignitas.

Amplitudo

Ἔοικε δὲ ἀρετή τις εἶναι, ἣ δόξειεν ἂν παραπλησίως ἔχειν πρὸς τὴν μεγαλοψυχίαν, ὥσπερ καὶ ἡ ἐλευθεριότης πρὸς τὴν μεγαλοπρέπειαν,

Ambientia seu gloria Aristot: nomine caret.

πρέπειν, ἄμφω γὰρ αὗται τῆς μὲν μεγάλης
Eth. Ni= ἀφιστᾶσι, περὶ δὲ τὰ μέτρια καὶ τὰ μικρὰ
com. lib.4. διατιθέασιν ἡμᾶς ὡς δεῖ. ὥσπερ δὲ ἐν λήψει
cap.1. καὶ δόσει χρημάτων μεσότης ἐστὶ, οὕτω καὶ ἐν
τιμῆς ὀρέξει τὸ μᾶλλον ἢ δεῖ, καὶ ἧττον, καὶ τὸ
ὅθεν δεῖ καὶ ὡς δεῖ. ἔστιν οὖν ἕξις τις ἐπαινετὴ
περὶ ταύτην, μεσότης οὖσα ἀνώνυμος, εἰ μὴ
κλέος παχυλῶς λεχθήσεται καὶ τύπῳ· ἔχει
δὲ ὑπερβολὴν μὲν φιλοτιμίαν, ἔλλειψιν δὲ
ἀφιλοτιμίαν, καὶ φαίνεται ἡ ἀρετὴ ἀνώνυ-
μος οὖσα ὡς εἴρηται, πρὸς μὲν φιλοτιμίαν,
ἀφιλοτιμία, πρὸς δὲ τὴν ἀφιλοτιμίαν φι-
λοτιμία τις εἶναι, πρὸς ἀμφότερα δὲ πῶς
ἀμφότερα. τὸν μὲν οὖν ἀφιλότιμον ψέγομεν
ὡς οὐδὲ ἐπὶ καλοῖς προαιρούμενον τιμᾶσθαι,
φιλότιμον δὲ ὡς καὶ μᾶλλον ἢ δεῖ καὶ ὅθεν οὐ δεῖ
Differunt τῆς τιμῆς ἐφιέμενον. Συνακολουθεῖ καὶ τῇ φι-
Iactantia λοτιμίᾳ ἀλαζονία καὶ τόλμημα. Ἀλαζονία
& Super= ἕξις προσποιητικὴ ἀγαθοῦ ἢ ἀγαθῶν τῶν
bia siue μὴ παρόντων, τόλμημα ὅταν δι' ἔργα ἃ
præsumtio ἔχει κλέος τις ἀμετρίως ἐπιζητεῖται ὡς καὶ
Plato lib. ἡ ὑπερηφανία, καὶ περὶ ὑπεροψίας ἢ
definit: ὑπερηφανίας καλῶς ὁ Εὐριπίδης:
Euripedes.

Ὅταν ἴδῃς πρὸς ὕψος ἠρμένον τινὰ
Λαμπρῷ τε πλούτῳ καὶ γένει γαυρούμενον,
Ὀφρῦν τε μείζω τῆς τύχης ἐπηρκότα:
Τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα.

Συνακολουθεῖ δὲ καὶ φιλαυτία οὐχ ἡ ἐπαινετὴ περὶ ἧς, λέγεται, τὸ γόνυ κνήμης ἔγγιον, ἀλλὰ κακία καθ' ἣν ἑαυτοῖς ἀπονέμονται πλεῖον εἰ δεῖ ἐν ταῖς τιμαῖς, περὶ ἧς ὁ Πλάτων: τὸ ἐξαπατᾶσθαι αὐτὸν ὑπὸ αὑτοῦ πάντων χαλεπώτατον, ὅταν γὰρ μηδὲ σμικρὸν ἀποστατῇ ἀλλ' ἀεὶ παρῇ ὁ ἐξαπατάζων, πῶς οὐ δεινόν; διὸ καὶ λέγεται: οὐρανόθεν τὸ γνῶθι σ' αὐτόν. ἕπεται τῇ φιλαυτίᾳ φορτικότης τῶν ἀκρατῶν, φιλαυτία τῆς ἰδίας δόξας, χαίρουσι λέγει Ἀριστοτέλης ἐάν τις καθόλου λέγων ἐπιτύχῃ τῶν δοξῶν ἃς ἐκεῖνοι κατὰ μέρος ἔχουσι. ἕπεται καὶ ἀψικορία καὶ φιλονεικία, αἳ ποιοῦσι ὑπερόπτας τῶν εἰωθότων γίνεσθαι, καὶ δούλους τῶν ἀτόπων.

Amor sui.
Eth. ad Nicom. lib. 9. cap. 8.
Plato in Cratylo.
Aristot. 2. Rhetoric:
Lucianus.
Thucyd. lib. 3. Belli Pelopon.

Καρτερία, ἕξις διαφυλακτικὴ διαλογισμῶν ὀρθῶν ἐν κινδύνοις, ἔλλειψιν μὲν κουφότητα ἔχει ἣν ὡς κάλαμον τὸν ὑπὸ ἀνέμου σαλευόμενον ποιοῦσαν τὴν βούλευσιν, ὑπερβολὴν δὲ αὐθάδειαν καθ' ἣν αὐτογνώμονές εἰσι, τῶν ἄλλων εὐβουλίαν ὀλιγωροῦντες, περὶ ἧς ὁ Αἴσχυλος:

Μηδ' αὐθάδειαν εὐβουλίας ἄμεινον ἡγήσῃ
ποτέ.

Perseuerantia.
Plato in lib. definit.

Πραότης ἀρετὴ καθ' ἣν ἀπ' ὀργῆς γίνονται δυσκίνητοι, ἐν ἐλλείψει μὲν ἀοργησίαν

Mansuetudo.

ἔχει,

ἔχει, ὑπερβολὴν δὲ τὴν ὀργιλότητα. καὶ ὁ

Eth. ad Ni= μὲν ἐφ' οἷς δεῖ ὀργιζόμενος, ἔτι δὲ καὶ ὡς δεῖ, καὶ
com: lib. 4. ὅσον χρόνον, ἐπαινεῖται, οὔτε ἐλλείπων τῇ ὀργῇ,
cap. 5. οὔτε ὑπερβάλλων. ἔστι δὲ ὁ θυμὸς θηριῶδες
Mag. mor. πάθος τῇ διαθέσει, συνεχὲς δὲ τῇ λήψει,
lib. 1. ca. 23. σκληρὸν καὶ βίαιον τῇ δυνάμει φόνων αἴτιον,
Ad Eudæ: συμφορᾶς σύμμαχον, βλάβης συνεργὸν καὶ
lib. 3. cap. 3. ἀτιμίας, χρημάτων ἀπώλεια, ἔτι δὲ καὶ φθορᾶς ἀρχηγόν. ἔστι δὲ ὀργιλότητος εἴδη τρία ἀκροχολία, πικρία, βαρυθυμία. πρᾳότητος δέ ἐστι τὸ φέρειν μετρίως ἐγκλήματα καὶ ὀλιγωρίας, καὶ τὸ μὴ ταχέως ὁρμᾶν ἐπὶ τὰς τιμωρίας, καὶ δυσκίνητον εἶναι πρὸς τὰς ὀργάς, ἄπικρον δὲ τῷ ἤθει, καὶ ἀφιλόνεικον ἔχοντα τὸ ἠρεμαῖον ἐν τῇ ψυχῇ καὶ τὸ στάσιμον. Συνακολουθεῖ τῇ ὀργιλότητι ἀπλήστεια, ἀπανθρωπία, καὶ μισανθρωπία, καὶ τὸ ἐπὶ μικροῖς λυπεῖσθαι, καὶ τὰ αὐτὰ πάσχειν ταχέως παρὰ βραχὺν καιρόν.

Patientia. Ἀνεξικακία παρὰ τὸ ἀνέχεσθαι τῆς κα-
Plato ἐν κίας, ἠρεμία ψυχῆς περὶ τὰ δεινὰ καὶ ἀργα-
ὅροις & λέα, δύναμις ὑπομονητικὴ λύπης ἕνεκα
Cicero lib. καλοῦ καὶ ὀνείατος ἔλλειψιν ἔχει φόβον καὶ
2. de Inuẽt. ἀτλησίαν καὶ ἔκπληξιν, καὶ ἀνυποστασίαν ἐξυβρίζουσαν καὶ πλημμελοῦσαν εἰς τὸν θεόν, ὑπερβολὴν δὲ ἀπάθειαν τῆς λύπης, καὶ πόνου

ἀναίσθησιν

αἴσθησιν παντελῶς ἀποῤῥίπτουσαι. καὶ περὶ ἀνεξικακίας ὁ Μένανδρος:

Menander.

Νίκα λογισμῷ τὴν παροῦσαν συμφορὰν,
Φρονοῦντος γάρ ἐστιν ζημίαν ῥᾷον φέρειν.

Temperã-tia.
Aristot.lib. de uirtut:
Mag. mor. lib.1.ca.22.
Eth.ad Nicom: lib.3. cap. 11.
Ad Eudæ: lib.3. ca.2.

Σωφροσύνη, ἀρετὴ τοῦ ἐπιθυμητικοῦ καθ' ἣν ἀνόρεκτοι γίνονται περὶ τὰς ἀπολαύσεις τῶν φαύλων ἡδονῶν, ὑπερβολὴν μὲν ἀναισθησίαν ἔχει, ἔλλειψιν δὲ ἀκολασίαν. ἔστι δὲ τῆς ἀκολασίας τὸ αἱρεῖσθαι τὰς ἀπολαύσεις τῶν ἡδονῶν τῶν βλαβερῶν καὶ αἰσχρῶν, καὶ ὑπολαμβάνειν εὐδαιμονεῖν, μάλιστα τοὺς ἐν ταῖς τοιαύταις ἡδοναῖς ζῶντας, καὶ φιλογέλοιον εἶναι, καὶ φιλόσκωπτον, καὶ φιλευτράπελον, καὶ ῥᾳδιουργὸν εἶναι ἐν τοῖς λόγοις, καὶ ἐν τοῖς ἔργοις. Ἀκολουθεῖ καὶ τῇ ἀκολασίᾳ, ἀταξία, ἀναίδεια, ἀκοσμία, τρυφὴ, ῥᾳθυμία, ἀμέλεια, ὀλιγωρία, ἔκλυσις: Ἐλλείποντες δὲ περὶ τὰς ἡδονὰς καὶ ἧττον ἢ δεῖ χαίροντες οὐ πάνυ γίνονται. οὐ γὰρ ἀνθρωπική ἐστιν ἡ τοιαύτη ἀναισθησία, καὶ γὰρ τὰ λοιπὰ ζῶα διακρίνει τὰ βρώματα, καὶ τοῖς μὲν χαίρει, τοῖς δὲ οὐ χαίρει. Εἰ δέ τῳ μηδέν ἐστιν ἡδὺ, μηδὲ διαφέρει ἕτερον ἑτέρῳ, πόῤῥω ἂν εἴη τοῦ ἄνθρωπος εἶναι, οὐκ ἔτυχε δὲ ὁ τοιοῦτος ὀνόματος, διὰ τὸ μὴ πάνυ γίνεσθαι, εἰ μὴ ἀναίσθητος ἂν λέγοιτο. Καὶ σοφῶς περὶ

τῆς

τῆς σωφροσύνης ὁ Ἐπίκτητος· μὴ πίναξι
Epictetus. καὶ γραφαῖς τὴν οἰκίαν σου περίβαλλε, ἀλλὰ
σωφροσύνῃ κατάγραφε, τὸ μὲν γὰρ ἀλλοῖον
καὶ τῶν ὀφθαλμῶν ἐστι ἐπίηρος γοηθεία,
τὸ δὲ σύμφυτος, καὶ ἀνεξάλειπτος, καὶ ἀΐδιος
οἰκίας κόσμος.

Continentia. Ἐγκράτεια, ἀρετὴ τοῦ ἐπιθυμητικοῦ καθ'
ἣν κατέχουσι τῷ λογισμῷ τὴν ἐπιθυμίαν
Aristot. in lib. de uirt. Eth. ad Nicom. lib. 7. cap. 1. et 4. Eth. ad Nicom: lib. 3. cap. 10. ὁρμῶσαν ἐπὶ τὰς φαύλας ἡδονὰς τὰς περὶ
τὴν τροφὴν, καὶ τῶν ἀφροδισίων χρείαν:
ὑπερβολὴν ἔχει τὴν ἄγαν ἀπόσχεσιν μὴ
χρῆσθαι ὠφελίμῃ καὶ χρηστῇ τοῦ σώματος
τροφῇ, ἔλλειψιν τὴν ἀκράτειαν, καὶ θηλύτη-
τα, καὶ ἀσωτίαν, οἵη ἐν τῷ Φιλοξένῳ Ἐρυξίῳ
τῷ ὀψοφάγῳ, ὃς φάρυγγα αὐτῷ μακρότε-
ρον γεράνου ηὔξατο γενέσθαι, ὡς ἡδόμενος
Aristippus τῇ ἁφῇ. καὶ ἀληθῶς λέγεται, ὅτι κρατεῖ
ἡδονῆς οὐχ ὁ ἀπεχόμενος, ἀλλ' ὁ χρώμε-
νος μὲν, μὴ προεκφερόμενος δὲ, ὥσπερ
καὶ νηὸς καὶ ἵππου, οὐχ ὁ μὴ χρώμενος,
ἀλλ' ὁ μετάγων ὅποι βούληται. Διὸ καὶ
ἄλλος: δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισ-
Demosthenes. μὸν ἀεὶ τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι
ποιεῖν.

Sobrietas. Συνακολουθεῖ καὶ τῇ ἐγκρατείᾳ ἡ νηφα-
λιότης, ὑπερβολὴν μὲν ἐν ποτοῖς τὴν παύ-

τὴν

τὴν τῇ ἐγκρατείᾳ ἔχουσα, ἔλλειψιν δὲ τὴν
μεθυότητα, τὴν ἄγαν πλησμονὴν ἐκ τῶν Plato lib. 1.
οἴνων ἢ ἄλλης πόσεως, ἣ τὰς αἰσθήσεις καὶ de legibus.
μνήμην, καὶ θυμὸν, καὶ φρόνησιν, καὶ τὸν νοῦν
διαφθείρουσα, εἰς τὸ ἀφικνεῖσθαι εἰς τὴν ταύ-
την τῆς ψυχῆς τάξιν ἣ τότε, ὅτε τις νέος ἦν
παῖς, διὸ καὶ λέγεται, πολλάκις ἐν οἴνου κύ-
μασί τις ναυαγεῖ. ἕπεται τῇ μεθυότητι καὶ
ἀσέλγεια, ὡς Ἀριστοφάνης λέγει: ἡδύς τε Aristophanes.
πίνειν οἶνος ἀφροδίτης γάλα.

Ἁγνεία, ἱερά τις ἀπ᾽ ἀφροδισίων πραγ- Castitas.
μάτων τῆς ψυχῆς τε καὶ τοῦ σώματος καθα-
ρότης, καὶ κατ᾽ αὐτὴν τῶν ἐκτὸς ἠθῶν πα-
ραχηματισμός: ἔλλειψιν μὲν ἔχει φιλη-
δονίαν, πορνείαν, μοιχείαν, μαχλοσύνην,
ἀσέλγειαν, καὶ τῶν γυναικῶν καινοσπουδίαν, Paulus Si-
ὑπερβολὴ οὐχ ἁμαρτάνεται, ἔστιν οὖν ἀνώνυ- lentiarius.
μος. καλὰ, λέγει τις, τὰ παρθενίης κειμή-
λια, παρθενίη δὲ τὸν βίον ὤλεσεν ἂν πᾶσι
φυλαττομένη, τοὔνεκεν ἐνθέσμως ἄλοχον
λαβὲ, καί τινα κόσμῳ δὸς βροτὸν ἀντὶ
σέθεν, φεῦγε δὲ μαχλοσύνην.

Καὶ Πυθαγόρας: ὧν τοῦ σώματος ἀπαλ- Pythago-
λαγεὶς οὐ δεήσῃ, ἐκείνων καταφρόνει πάν- ras.
των, καὶ ὧν ἀπαλλαγεὶς δεήσῃ, πρὸς ταῦτά
σοι ἀσκουμένῳ τοὺς θεοὺς παρακάλει γί-
νεσθαι συλλήπτορας.

Αἰδὼς

Αἰδὼς, τῇ ἀρετῇ ὅμοιον πάθος, μᾶλ-
Verecun- λον γὰρ πάθει ἔοικεν ἢ ἕξει, φόβος τις ἀ-
dia. δοξίας καὶ ψόγου δικαίου, ὃς τῇ νέᾳ ἡλικίᾳ
Eth: ad Ni- μάλιστα ἁρμόζει, ἔλλειψιν μὲν τὴν ἀναι-
com: lib. 4. δειαν ἔχει, καὶ οἱ τοιοῦτοι κυνῶπες καὶ κυνώ-
cap. 9. πιδες λέγονται, ἀναίδεια δὲ τετελεσμένη κυ-
νομυῖα ὀνομαίνεται, ὡς ἐκ κυνὸς καὶ μυίας
συμμιγμένου ὀνόματος, ὑπερβολὴν δὲ
Hesiodus δυσωπίαν. αἰδὼς γὰρ ἄνδρας μέγα σίνεται,
in operib. ἠδ' ὀνόνησιν. Πυθιὰς ἡ Ἀριστοτέλους τοῦ φιλο-
σόφου θυγάτηρ ἐρωτηθεῖσα, ποῖον κάλλιστον
χρῶμα, ἔφη: τὸ διὰ τὴν αἰδῶ τοῖς ἐλευ-
θέροις ἐπιγινόμενον.

Modestia. Κοσμιότης ἀρετὴ ἐν δόξαις, πράξεσι,
Cornificius λόγοις, καὶ πάθεσι εὐταξίαν καὶ τὸ πρέπον
lib. 1. ad διασώζουσα, ὅλης τῆς ἀρετῆς βάσις, μεσότης
Heren: ἐστὶ ἀναισχυντίας καὶ καταπλήξεως, ὁ μὲν γὰρ
ἀναίσχυντος ἐν παντὶ καὶ εἰς πάντας λέγει,
καὶ πράττει ἃ ἔτυχεν, ὁ δὲ καταπεπληγμένος
ὁ ἐναντίος τούτῳ, ὁ πάντα καὶ πάντας εὐ-
λαβούμενος καὶ πρᾶξαι καὶ εἰπεῖν, ἄπρακτος
δὲ ὁ τοιοῦτος ὁ πάντα καταπληττόμενος,
μεσότης δὲ κοσμιότης καὶ ὁ κόσμιος τούτων,
ὁ πράττει καὶ ἀγορεύει ἐν οἷς δεῖ, καὶ ἃ δεῖ, καὶ
Mag. mor. ὅτε δεῖ, καὶ διὰ ταύτης ἡ αἰδὼς βεβαιοῦται, καὶ
lib. 1. ca. 30. ἀρετὴ γίνεται. διὸ καὶ ταῦτα τῆς αὐτῆς ἀκρα

Ἀριςο

Ἀριστοτέλης ὀνομάζεται. Ἀρχὴ ἄρα τοῦ καλῶς ποιεῖν, τὸ μὴ κατοκνεῖν τὰ ἀσχήμονα λέγειν. Musonius.

Ταπεινοφροσύνη, ἀρετὴ καθ' ἣν τὰς περὶ ἑαυτοὺς δόξας ταπεινοῦνται καὶ χθαμαλίζουσι, ὑπερβολὴν ἔχει ὑπόκρισιν, ἔλλειψιν δὲ ἀλαζονείαν, καὶ ὑπερηφανίαν, καὶ ὑπεροψίαν, περὶ ὧν περιείρηται. Humilitas.

Σεμνότης περὶ τὰς ἐντεύξεις ἀρετὴ, ἔλλειψιν μὲν τὴν αὐθάδειαν ἔχει, ὑπερβολὴν δὲ ἀρέσκειαν, καὶ ὁ μὲν αὐθάδης τοιοῦτός ἐστιν, οἷος μηδενὶ ἐντυχεῖν, μηδὲ διαλλαγῆναι, ἀλλὰ τοὔνομα ἔοικεν ἀπὸ τοῦ τρόπου κεῖσθαι· ὁ γὰρ αὐθάδης αὐτάδης τίς ἐστιν, ἀπὸ τοῦ αὐτὸς αὑτῷ ἀρέσκειν. ὁ δὲ ἀρέσκος τοιοῦτος οἷος πᾶσιν ὁμιλεῖν καὶ πάντως καὶ πανταχῆ, οὐδέτερος δὴ τούτων ἐπαινετὸς, ὁ δέ γε σεμνὸς ἀνὰ μέσον τούτων, ὢν ἐπαινετός: οὔτε γὰρ εἰς πάντας ἀλλ' εἰς τοὺς ἀξίους, οὔτε εἰς οὐδένα, ἀλλ' εἰς αὐτοὺς τούτους.

Familiaritas in congreßibus & colloquijs. Arist.lib.1. Mag. mor. cap.29.

Ἔστι καὶ σεμνότης μαλακὴ καὶ εὐσχήμων βαρύτης, γυναική τις ἀρετὴ, καὶ τὴν αἰδῶ καὶ κοσμιότητα, καὶ ἁγνείαν, καὶ τὸ πρέπον, καὶ εὐταξίαν συλλήβδην ἔχουσα, μάλιστα δὲ τὰ περὶ τῶν ἀφροδισίων χρείαν, καὶ τὴν ἐκείνων διανόησιν, διὸ καὶ τὰ αὐτὰ ἐκείναις ἄκρα ἔχει, Honestas. Arist.lib.2. Rhetor:

ὡς καλοκἀγαθία τῶν πασῶν ἀρετῶν ἄκρα.

Καλοκα-γαθία. Mag. mor. lib.2. ca.9.

Ἔστι γὰρ ὁ καλοκἀγαθὸς, ὁ τελείως σπουδαῖος, ᾧ τὰ ἁπλῶς ἀγαθά ἐστιν ἀγαθὰ, καὶ τὰ ἁπλῶς καλά, ἐστιν καλὰ, ὁ τοιοῦτος γὰρ καλός καὶ ἀγαθὸς λέγεται.

Ἐν πάσαις μὲν οὖν ταῖς εἰρημέναις ἀρεταῖς ἡ ἀρχή ἐστι, καὶ τὸ μέσον, καὶ τελευτὴ, καὶ ἔνθα ἢ ὑπερβολὴ, καὶ οὕτω καθ' ἕκαστα διελθόντες, μεσότητας εἶναι τὰς ἀρετὰς ἂν πιστευσαίμεν, ἐπὶ πασῶν οὕτως ἔχειν συνιδόντες.

Plutarchus in lib. de morali uirtute.

Ἐπεὶ δὲ τυγχάνομεν πρότερον εἰρηκότες ὅτι ἐν μεσότητι ἡ ἀρετὴ, καὶ ὅτι δεῖ τὸ μέσον αἱρεῖσθαι, μὴ τὴν ὑπερβολὴν μήτε τὴν ἔλλειψιν, διασκεπτέον ποῖόν ἐστιν ἡ ἀρετὴ μέσον, ποίαν τε χρὴ μεσότητα αἱρεῖσθαι. Ἔστι μέσον τι ἐκ δυοῖν σύμμικτον ἢ κατηρτισμένον ἐσχάτοιν, οἷον τὸ γλαυκὸν ἐκ τοῦ μέλανος καὶ λευκοῦ, τοία μεσότης ἀρετὴ οὐκ ἔστιν, ἀλλὰ μέσον ἀφ' ἑκάστου τῶν ἄκρων ἀλλότριον, οὐκ ἐξ αὐτῶν κατεσκευασμένον, οὔτε αὐτοῦ μετ' αὐτοῖς λόγου, (ἔσται γὰρ οὕτω γε ὑπερβολῆς καὶ ἐλλείψεως μεσότης, καὶ ὑπερβολῆς ὑπερβολὴ, καὶ ἔλλειψις ἐλλείψεως, καὶ οὕτω τῶν κακιῶν μεσότητές τινες καὶ ἀρεταὶ ἔσονται) ἀλλ' ἀλλοτρίου ἀπ'

ἐσχάτων

ἐσχάτων λόγου, οἷον εὐσέβεια μεσότης ἐστὶ τῆς
βεβηλότητος καὶ δεισιδαιμονίας, καὶ οὕτω ἐν
ἠθικαῖς ἀρεταῖς πᾶσι. Οὐ πᾶν δὲ ἀεὶ μέ-
σον δεῖ αἱρεῖσθαι, ἀλλὰ τὸ πρὸς ἡμᾶς, καὶ ὁ
λόγος ὁ ὀρθὸς ἐπιδείκνυται, καὶ ὡς ὁ φρόνι-
μος διανοεῖται καὶ ὁρίζεται. Ἁπλῶς μὲν γὰρ
τὸ μέσον λέγεται τὸ ἴσον ἀπέχον ἀφ' ἑκατέρου
τῶν ἄκρων, ὅπερ ἐστὶν ἓν καὶ ταυτὸ πᾶσιν, οἷον
ἐν κύκλῳ τὸ κέντρον ἢ μέσον σημεῖον ἀφ'
οὗ πᾶσαι τῶν ἐντὸς τοῦ σχήματος κειμένων
αἱ προσπίπτουσαι γραμμαὶ εὐθεῖαι πρὸς τὴν
περιφέρειαν, ἴσαι ἀλλήλαις εἰσί: πρὸς ἡμᾶς
δὲ ὃ μήτε πλεονάζει μήτε ἐλλείπει. τοῦτο δὲ οὐχ
ἓν ἀεί ἐστιν, οὐδὲ τὸ αὐτὸ πᾶσι, οἷον ἐν τῇ ἐγ-
κρατείᾳ, εἰ δέκα δραχμῶν φαγεῖν σιτίον
πολύ ἐστί τινι, δύο δὲ ὀλίγον, μὴ ἓξ δραχ-
μῶν διὰ τοῦτό τις αὐτῷ ἂν προστάξειεν, ὅτι
μέσα ἓξ ἐστὶ ἃ ἴσως ὑπερέχει τε καὶ ὑπερέχεται
κατ' ἀριθμητικὴν ἀναλογίαν, ἔστι γὰρ ἴσως
τοῦτο πολὺ τῷ ληψομένῳ ἢ ὀλίγον, πολὺ
μὲν ἀσθενεῖ τινι, τῷ δὲ ἄλλῳ ῥωμαλέῳ ὀλί-
γον. τὸ μὲν οὖν μέσον ζητεῖται οὐ τὸ τοῦ πράγ-
ματος ἀεί, ἀλλὰ τὸ πρὸς ἡμᾶς, καὶ ἐνίοτε
μὲν κατ' ἀναλογίαν τὴν γεωμετρικὴν τὸ
πρὸς ἡμᾶς μέσον δεῖ ληφθῆναι, ἐνίοτε δὲ
κατ' ἀναλογίαν τὴν ἀριθμητικήν, καὶ τοῦτο

Eth. ad Nicom. lib. 2. cap. 6.

Euclid: Elemen: lib: 1. defin. 15.

ὅταν

ὅταν ἂν γένοιτο, καὶ πῶς ἂν γένοιτο, λόγος ὁ ὀρθὸς. καὶ ὁ φρόνιμος ἂν διανοήσειε, οὐ δὲ τοῦ ἀσυνέτου κρίσις, οἵη τοῦ Κύρου, ὃς πληγὰς ἔλαβε ὡς οὐκ ὀρθῶς ἐν δίκῃ τινὶ δικάσας:

Xenophon lib. 1. de Institutione Cyri.

Παῖς μέγας μικρὸν ἔχων χιτῶνα ἕτερον παῖδα μικρὸν, μέγαν ἔχοντα χιτῶνα ἐκδύσας αὐτὸν, τὸν μὲν ἑαυτοῦ ἐκεῖνον ἠμφίεσε, τὸν δὲ ἐκείνου αὐτὸς ἐνέδυ. Κῦρος οὖν ἐν τῇ τῶν παίδων δίκῃ τούτοις δικάζων, ἔγνω βέλτιον εἶναι ἀμφοτέροις τὸν ἁρμόζοντα ἑκάτερον ἔχειν χιτῶνα. ἐν δὲ τούτῳ αὐτὸν ἔπαισεν ὁ διδάσκαλος λέγων, ὅτι ὁπότε μὲν κατασταθείη ὁ Κῦρος τοῦ ἁρμόττοντος κριτὴς, οὕτω δέοι ποιεῖν: ὁπότε δὲ κρῖναι δέοι ὁποτέρου ὁ χίτων εἴη, τοῦτ' ἔφη σκεπτέον εἶναι, τίς κτῆσις δικαία ἐστὶ, πότερον τὸν βίᾳ ἀφελόμενον ἔχειν, ἢ τὸν ποιησάμενον ἢ πριάμενον κεκτῆσθαι. ἔπειτα δὲ ἔφη τὸ μὲν νόμιμον δίκαιον εἶναι, τὸ δὲ ἄνομον βίαιον. δῆλον οὖν ὅτι οὐκ ἀσυνέτου, ἀλλὰ τοῦ φρονίμου λόγος τὸ πρὸς ἡμᾶς μέσον ἂν ὁρίσειε. διὸ καὶ ὁ Φωκυλίδης λέγει:

Phocylides

Μηδέποτε κρίνειν ἀδαήμονας ἄνδρας ἐάσῃς.

Εἶναι δὲ μέσον τι μεταβλητικὸν, καὶ ἐνίοτε μὲν ἀναλογίαν δεῖν ληφθῆναι ἀριθμητικὴν, ἐνίοτε δὲ τὴν γεωμετρικὴν, ὡς εἴρηται,

ὁ Πλά-

ὁ Πλάτων διισχυρίζεται, καὶ Ἰσοκράτης μαρτυρεῖται. Παλαιὸς λόγος, λέγει ὁ Πλά- Plato lib.6. de Legib.
των, ἀληθὴς ὤν, ὡς ἰσότης φιλότητα ἀπεργάζεται, μάλα μὲν ὀρθῶς εἴρηται καὶ ἐμμελῶς. ἥτις δέ ἐστί ποτε ἰσότης ἡ τοῦτο αὐτὸ δυναμένη, διὰ τὸ μὴ σφόδρα σαφὴς εἶναι, σφόδρα ἡμᾶς διαταράττει. δυοῖν γὰρ ἰσοτήτοιν οὔσαιν, ὁμωνύμοιν μὲν, ἔργῳ δὲ εἰς πολλὰ σχεδὸν ἐναντίαιν, τὴν μὲν ἑτέραν εἰς τὰς τιμὰς πᾶσα πόλις ἱκανὴ παραγαγεῖν. καὶ πᾶς νομοθέτης, τὴν μέτρῳ ἴσην σταθμῷ καὶ ἀριθμῷ κλήρῳ ἀπευθύνων εἰς τὰς διανομὰς αὐτήν. τὴν δὲ ἀληθεστάτην καὶ ἀρίστην ἰσότητα, οὐκέτι ῥᾴδιον παντὶ ἰδεῖν. Διὸς γὰρ δὴ κρίσις ἐστὶ, καὶ τοῖς ἀνθρώποις ἀεὶ σμικρὰ μὲν ἐπαρκεῖ. πᾶν δὲ ὅσον ἂν ἐπαρκέσῃ πόλεσιν, ἢ καὶ ἰδιώταις, πάντα ἀγαθὰ ἀπεργάζεται: τῷ μὲν γὰρ μείζονι πλείω, τῷ δὲ ἐλάττονι σμικρότερα νέμει, μέτρια διδοῦσα πρὸς τὴν αὐτῶν φύσιν ἑκατέρῳ.

Καὶ Ἰσοκράτης ἐν Ἀρεοπαγιτικῷ λέγει: Isocrates in Areopagitico.
μάλιστα δὲ αὐτοῖς συνεβάλετο πρὸς τὸ καλῶς οἰκεῖν τὴν πόλιν, ὅτι δυοῖν ἰσοτήτοιν νομιζομέναιν εἶναι, καὶ τῆς μὲν ταὐτὸν ἅπασιν ἀπονεμούσης, τῆς δὲ πρὸς τὸ προσῆκον ἑκάστοις: οὐκ ἠγνόουν τούτων τὴν χρησιμωτέραν ἀλλὰ

τὴν μὲν αὐτῶν ἀξιοῦσαν τοὺς χρηστοὺς καὶ
πονηροὺς ἀπεδοκίμαζον ὡς οὐ δικαίαν οὖσαν,
τὴν δὲ κατ' ἀξίαν ἕκαστον τιμῶσαν καὶ κο-
λάζουσαν προῃροῦντο καὶ διὰ ταύτης ᾤκουν
τὴν πόλιν. Ἔστιν οὖν μέσον τι μεταβλητικόν,
καὶ τοῦτο οὐ μόνον ἐν τῇ δικαιοσύνῃ καὶ ἰσότητι
ὡς εἴρηται, ἀλλὰ καὶ ἐν ἀρεταῖς ἄλλαις οἷον ἐν
ἐλευθεριότητι, μεγαλοπρεπείᾳ, σωφροσύνῃ
μεγαλοψυχίᾳ, καὶ ταῖς τοιαύταις. Διορίζεται
δὲ τὸ μέσον ὃ δεῖ αἱρεῖσθαι, λόγῳ μὲν μόνῳ
ὅταν ἀμετάβλητόν ἐστι τὸ μέσον, καὶ τῷ ἀγρά-
πτῳ καὶ ἀσφαλεῖ θεοῦ νομίμῳ, δικαίῳ, ἐμ-
ψύχῳ, καὶ ταῖς τοῦ θεοῦ ἐντολαῖς ἁπλῶς συναρ-
μόζει. τοῦτο γὰρ μέσον αἱ περιστάσεις οὐ μετα-
βάλλουσι: τοῦ φρονίμου δὲ λόγῳ ὅταν ἐστὶν
Eth: ad Ni= εὐκίνητον καὶ μεταβλητικόν. Ὥσπερ γὰρ ἐν
com: lib. 10. ἰατρικῇ συγγράμματα καθόλου μὲν γράφεται,
cap. 10. οὐ μόνον τὰ θεραπεύματα, ἀλλὰ καὶ ὡς δεῖ
θεραπεύειν, ταῦτα δὲ τοῖς μὲν ἐμπείροις ὠ-
φέλιμα εἶναι δοκεῖ, ἑκάστου διειλημμένοις
τὰς ἕξεις: τοῖς δὲ ἀνεπιστήμοσιν ἀχρεῖα, διὰ
τὸ μὴ ἕξεις ἑκάστου, συμπτώματα καὶ περι-
στάσεις συνιέναι αὐτοὺς καὶ διακρίναι: Οὕτω
καὶ ἐν μέσῳ τῷ μεταβλητικῷ ὁ τοῦ φρονίμου
μόνον λόγος κατὰ περιστάσεις τὰς παρούσας
πῶς δεῖ αἱρεῖσθαι, διορίζεται. Καὶ ἕξις οὖν

περ-

προαιρετικὴ ἡ ἀρετὴ ἐν μεσότητι οὖσα, τῇ πρὸς ἡμᾶς, ὡρισμένη λόγῳ, καὶ ὡς ἂν ὁ φρόνιμος ὁρίσειε, ὅπερ ἔδει ἀποδεῖξαι.

Ἐπεὶ δὲ τὸ ἁμαρτάνειν πολλαχῶς ἐστι (Eth. ad Nicom. lib. 2. cap. 6.) (τὸ γὰρ κακὸν τοῦ ἀπείρου ὡς οἱ Πυθαγόρειοι εἴκαζον, τὸ ἀγαθὸν τοῦ πεπερασμένου) καὶ τὸ κατορθοῦν μοναχῶς, διὸ καὶ τὸ μὲν ῥᾴδιον, τὸ δὲ χαλεπὸν, ῥᾴδιον μὲν τὸ ἀποτυχεῖν τοῦ σκοποῦ, χαλεπὸν δὲ τὸ ἐπιτυχεῖν: παρακαλῶ τοὺς νέους τοὺς ἐλευθέρους, ἔθει καὶ διδαχῇ ἐκ τῶν ἁπαλῶν, ὡς λέγεται, ὀνύχων, (Eth. Nicom. lib. 10. cap. 9.) ἀγαθοὺς ποιῆσαι ἑαυτοὺς, (τὸ μὲν τῆς φύσεως δῆλον ὅτι ἐφ' ἡμῖν οὐχ ὑπάρχει, ἀλλὰ διά τινος θείας αἰτίας τοῖς ὡς ἀληθῶς εὐτυχέσιν ὑπάρχει) οὐ ῥᾴδιον γὰρ τὰ ἐκ παλαιοῦ τοῖς ἤθεσι κατειλημμένα, ἔπειτα μεταστῆσαι, ἕξις οὔσης τῆς ἀρετῆς. Τοὺς ἀνδρωθέντας δὲ παρορμῶ, καὶ πάντας ἀνθρώπους (Eth. ad Nicom. lib. 10. cap. 10.) ἦθος ὡς ἀληθῶς φιλόκαλον ποιεῖσθαι κατακώχιμον ἐκ τῆς ἀρετῆς, δὲ ἀπέχεσθαι τῶν φαύλων, διὰ τὸ αἰσχρὸν μᾶλλον ἢ τὰς τιμωρίας, καὶ τὸ ἦθος προϋπάρχειν πως οἰκεῖον τῆς ἀρετῆς, στέργον τὸ καλὸν καὶ δυσχεραῖνον τὸ αἰσχρόν. οὐ γάρ ἐστιν ἐν τοῖς πρακτοῖς τέλος τὸ θεωρῆσαι ἕκαστα καὶ γνῶναι, ἀλλὰ μᾶλλον τὸ πράττειν αὐτά, οὐδὲ δὴ

περὶ

Nazianze: In Epitaphio fratris Cæsarij.

περὶ ἀρετῆς ἱκανὸν τὸ εἰδέναι, ἀλλ' ἔχειν, καὶ χρῆσθαι πλεῖστον. σοφὸς γάρ ἐστιν ὅστις ὀλίγα μὲν περὶ ἀρετῆς φθέγγεται, πολλὰ δὲ οἷς ἐνεργεῖ παραδείκνυσι, καὶ τὸ ἀξιόπιστον τοῦ λόγῳ διὰ τοῦ βίου περιτίθησι.

ΤΈΛΟΣ.

INDICATIO QVOrundam erratorum.

Colum. A 2. lin. 17. religionecꝗ: A 2. lin. 18. illùc: B 2. lin. 2. resistant & aduersentur: B 14. lin: 22. liberalitatis. B 15. lin. 15. ψόγος: D 8. lin. 19. εἶναι; πᾶν μὲν: D 16. lin. 1. ἄλλοις, lin. 21. ἐκπάθεια: E 7. lin. 20. ἧς: F 7. lin. 2. τελευτῆσαι. lin. 16. ἐμμανῆ: F 17. lin. 24. ἐπιθυμιῶν.